ζώων πτηνῶν·
τιθηνῶ
καὶ νοσηλεύω
τὸν ἐμὸν πατέρα. »
Καὶ ἐκεῖνός φησιν·
« Ὦ πελαργέ, οὐκ οἶδα
τίνι βίῳ χαίρεις·
ἀλλὰ γινώσκω τοῦτο· ἔλαβόν σε
σὺν ταῖς πορθούσαις
τὰ ἐμὰ ἔργα·
τοιγαροῦν ἀπολῇ μετὰ αὐτῶν,
μετὰ ὧν ἥλως. »
[Ὁμιλῶν κακοῖς,
μισήσῃ ὡς ἐκεῖνοι,
καὶ ἐὰν καταβλάψῃς αὐτὸς
μηδὲν τοὺς πέλας.]

13. LE LABOUREUR ET LA CIGOGNE.

Un laboureur ayant fixé
dans des sillons de légers lacets,
avait pris-ensemble des grues
ennemies des semences.
Une cignogne boitant
suppliait cet *homme :*
car avec elles à-la-fois
avait été prise aussi la cigogne :
« Je ne suis point grue ;
je ne dévaste pas les semences :
je suis cigogne,
(et la couleur me fait-connaître),
cigogne, le plus pieux
des animaux ailés :
je nourris
et je soigne-dans-la-maladie
mon père. »
Et l'autre dit :
« O cigogne, je ne sais pas
à quel genre-de-vie tu te-complais :
mais je sais cela : je t'ai prise
avec celles qui dévastent
mes ouvrages ;
ainsi-donc tu périras avec elles,
avec lesquelles tu as été prise. »
[Te-mêlant aux méchants,
tu seras haï comme eux,
même si tu ne nuis toi-même
en-rien au prochain.]

ΙΔ'. ΑΡΚΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Ἄρκτος ηὔχει
φιλεῖν ἄνθρωπον ἐκτόπως·
ἔφασκε γὰρ
μὴ σύρειν

14. L'OURS ET LE RENARD.

Un ours se-vantait
d'aimer l'homme excessivement :
il répétait, en effet,
qu'il ne déchirait pas

Πρὸς ἣν ἀλώπηξ εἶπε· « Μᾶλλον ἠρούμην,
εἰ νεκρὸν εἶλκες, τοῦ δὲ ζῶντος οὐχ ἥπτου. »
Ὁ ζῶντα[1] βλάπτων μὴ νεκρόν με θρηνείτω.

Que celui qui me fait du mal pendant ma vie ne pleure pas mon trépas.

ΙΕ'. ΑΝΗΡ ΑΘΗΝΑΙΟΣ ΚΑΙ ΘΗΒΑΙΟΣ.

Ἀνὴρ Ἀθηναῖός τις ἀνδρὶ Θηβαίῳ
κοινῶς δδεύων, ὥσπερ εἰκός, ὡμίλει.
Ῥέων δ' ὁ μῦθος ἦλθε μέχρις Ἡρώων,
μακρὴ μὲν ἄλλως ῥῆσις[1], οὐδ' ἀναγκαίη.
Τέλος δ' ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης
μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει·
ὁ δ' ἐξ Ἀθηνῶν ἔλεγεν ὡς πολὺ κρείσσων
Θησεὺς γένοιτο, καὶ τύχης ὁ μὲν θείης[2]
ὄντως λέλογχεν, Ἡρακλῆς δὲ δουλείης.
Λέγων δ' ἐνίκα· στωμύλος γὰρ ἦν ῥήτωρ·
ὁ δ' ἄλλος, ὡς Βοιωτός[3], οὐκ ἔχων ἴσην

15. L'ATHÉNIEN ET LE BÉOTIEN.

Un homme d'Athènes et un Thébain faisaient même route et devisaient ensemble, selon la coutume des voyageurs. Après maints discours on en vint à parler des héros; la conversation allait au hasard, et se prolongeait en vains propos. Enfin, le Thébain se mit à célébrer le fils d'Alcmène qui, après avoir été le plus grand des hommes, se trouvait maintenant parmi les dieux; de son côté, l'Athénien mettait Thésée bien au-dessus, et soutenait qu'il avait eu réellement en partage la destinée d'un dieu, et Hercule celle d'un esclave. Il eut tout l'avantage de la discussion, car il était beau parleur; l'autre, véritable Thébain, moins aguerri à ce combat de paroles, lui dit d'un ton

σῶμα νεκρὸν αὐτοῦ.
Πρὸς ἣν ἀλώπηξ εἶπεν·
« Ἡρούμην μᾶλλον,
εἰ εἵλκες νεκρόν,
οὐχ ἥπτου δὲ τοῦ ζῶντος. »
Ὁ βλάπτων
ζῶντά με
μὴ θρηνείτω νεκρόν.

le corps mort de lui.
Auquel le renard dit :
J'aimerais davantage,
si tu traînais un mort,
et ne t'-attaquais pas au vivant. »
Que celui qui fait-du-mal
à moi vivant,
ne pleure pas sur *moi étant* mort.

ΙΕ'. ΑΝΗΡ ΑΘΗΝΑΙΟΣ ΚΑΙ ΘΗΒΑΙΟΣ.

Ἀνήρ τις Ἀθηναῖος
ὁδεύων κοινῶς
ἀνδρὶ Θηβαίῳ,
ὡμίλει,
ὥσπερ εἰκός.
Ὁ μῦθος δὲ ῥέων
ἦλθε μέχρις ἡρώων,
ῥῆσις μὲν μακρὴ
ἄλλως,
οὐδὲ ἀναγκαίη·
τέλος δὲ ὁ μὲν Θηβαῖος
ὕμνει υἱὸν Ἀλκμήνης
μέγιστον
ἀνδρῶν,
νῦν δὲ
καὶ θεῶν·
ὁ δὲ ἐξ Ἀθηνῶν
ἔλεγεν ὡς Θησεὺς
γένοιτο πολὺ κρείσσων,
καὶ ὁ μὲν
λέλογχεν ὄντως τύχης θείης,
Ἡρακλῆς δὲ
δουλείης.
Λέγων δὲ ἐνίκα·
ἦν γὰρ ῥήτωρ στωμύλος.
Ὁ δὲ ἄλλος, οὐκ ἔχων λόγοις
ἴσην ἄμιλλαν,

15. L'HOMME D'-ATHÈNES ET *L'HOMME* DE-THÈBES.

Certain homme d'-Athènes
cheminant en-compagnie
avec un homme de-Thèbes,
conversait *avec lui*,
comme *il-est*-naturel.
Et le discours roulant
arriva jusqu'aux héros,
conversation longue
d'ailleurs
et pas essentielle :
mais *à* la fin le Thébain de-son-côté
vantait le fils d'Alcmène
comme ayant été le plus grand
des hommes,
et *étant* maintenant
même *au nombre* des dieux :
l'*homme* d'Athènes de-son-côté
disait que Thésée
lui était de-beaucoup supérieur,
et *que* celui-ci
a acquis en-réalité un sort divin ;
Hercule au contraire
un sort d'-esclave.
Et discutant il l'emportait :
il était, en effet, un parleur disert.
Or l'autre, n'ayant pas en paroles
une égale dextérité-de-lutte,

λόγοις ἅμιλλαν, εἶπεν ἀγρίῃ μούσῃ[4]·
« Πέπαυσο[5]· νικᾷς. Τοιγαροῦν χολωθείη
Θησεὺς μὲν ἡμῖν, Ἡρακλῆς δ' Ἀθηναίοις. »

bourru : « Brisons là ; tu l'emportes. A la bonne heure, que Thésée exerce sa colère contre nous, et Hercule contre les Athéniens. »

ΙϚ'. ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Ἄγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι· « Παῦσαι· μή σε τῷ λύκῳ ῥίψω. »
Ὁ λύκος δ' ἀκούσας, τήν τε γραῦν ἀληθεύειν
νομίσας, ἔμεινεν, ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἑσπέρης ἐκοιμήθη·
αὐτὸς δὲ πεινῶν, καὶ λύκος χανὼν[1] ὄντως,
ἀπῆλθε νωθραῖς ἐλπίσι παρεδρεύσας.
Λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα·
« Πῶς οὐδὲν ἄρας ἦλθες, ὥσπερ εἰώθεις[2]; »
Ὁ δ' εἶπε· « Πῶς γάρ, ὃς γυναικὶ πιστεύω; »

16. LE LOUP ET LA VIEILLE.

Une nourrice de village menaçait son enfant qui pleurait : « Tais-toi, ou je te donne au loup. » Le loup entendit, et crut que la vieille parlait tout de bon ; il resta, comptant avoir un souper tout prêt, tant que sur le soir l'enfant s'endormit ; pour lui, il s'en revint à jeun, et, comme on dit, la gueule ouverte, après avoir guetté un repas imaginaire. « Comment, contre ton habitude, ne rapportes-tu rien aujourd'hui ? » demanda sa compagne la louve. « Que veux-tu, repartit le loup, j'ai cru à la parole d'une femme. »

ὡς Βοιωτός,
εἶπε μούσῃ ἀγρίᾳ·
« Πέπαυσο· νικᾷς.
Τοιγαροῦν Θησεὺς μὲν
χολωθείη ἡμῖν,
Ἡρακλῆς δὲ Ἀθηναίοις. »

comme *étant* un Béotien,
dit d'un ton bourru :
« Cesse : tu l'emportes.
Qu'ainsi-donc Thésée
soit irrité contre nous,
et Hercule contre les Athéniens. »

ΙϚ'. ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.

Τίτθη ἄγροικος
ἠπείλησε νηπίῳ κλαίοντι·
« Παῦσαι·
μή σε ῥίψω
τῷ λύκῳ. »
Ὁ λύκος δὲ ἀκούσας,
νόμισας τε
τὴν γραῦν
ἀληθεύειν,
ἔμεινεν,
ὡς δειπνήσων
ἕτοιμα,
ἕως ὁ παῖς μὲν
ἑσπέρης ἐκοιμήθη·
αὐτὸς δὲ πεινῶν
καὶ ὄντως
λύκος χανών,
ἀπῆλθε
παρεδρεύσας
νωθραῖς ἐλπίσι.
Λύκαινα δὲ ἡ σύνοικος
αὐτὸν ἠρώτα·
« Πῶς ἦλθες,
οὐδὲν ἄρας,
ὥσπερ εἰώθεις; »
Ὁ δὲ εἶπε·
« Πῶς γάρ,
ὃς πιστεύω γυναικί; »

16. LE LOUP ET LA VIEILLE.

Une nourrice de-la-campagne
menaça *ainsi* un enfant qui pleurait :
« Cesse :
de peur que je ne te jette
au loup ! »
Or le loup *l'*ayant entendue,
et s'étant imaginé
que la vieille
disait-vrai (parlait sérieusement),
resta,
comme devant-faire-un-souper
tout-prêt,
jusqu'à-ce-que l'enfant
le soir fut endormi ;
et lui-même affamé
et véritablement
« loup à-la-bouche-béante, »
s'en-alla
après avoir été assis-là-guettant
dans un vain espoir.
Et la louve sa compagne
lui demandait :
« Comment es-tu venu,
n'ayant rien enlevé,
comme tu *en* avais l'habitude ? »
Et il dit :
« Comment, en effet, *l'aurais-je fait*,
moi qui ai-foi en une femme ? »

ΙΖ′. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Αἴλουρος ὄρνεις οἰκίης ἐνεδρεύων,
ὡς θύλακός τις πασσάλων ἀπηρτήθη.
Τὸν δ' εἶδ' ἀλέκτωρ πινυτὸς ἀγκυλογλώχιν[1],
καὶ ταῦτ' ἐκερτόμησεν ὀξὺ φωνήσας·
« Πολλοὺς μὲν οἶδα θυλάκους ἰδὼν ἤδη·
οὐδεὶς δ' ὀδόντας ζῶντος εἶχεν αἰλούρου. »

17. LE CHAT ET LE COQ.

Un chat qui guettait des poules s'était suspendu, en guise de sac, aux clous du plancher de la maison; un coq, fin matois, au bec crochu, l'aperçut et se railla de lui : « Je connais les sacs, lui cria-t-il de sa voix perçante; j'en ai vu plus d'un, et ils n'avaient pas des dents de chat vivant. »

ΙΗ′. ΒΟΡΕΑΣ ΚΑΙ ΗΛΙΟΣ.

Βορέῃ λέγουσιν Ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι· πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σισύραν[1] ἀπεκδύσει.
Βορέης δ' ἐφύσα πρῶτος οἷος ἐκ Θρῄκης,
βίῃ νομίζων τὸν φοροῦντα συλήσειν.
Ὁ δ' οὐ μεθῆκε μᾶλλον[2], ἀλλὰ ῥιγώσας,
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας,
καθῆστο, πέτρης νῶτον ἐξοχῇ κλίνας[3].

18. BORÉE ET LE SOLEIL.

Borée et le Soleil disputèrent, dit-on, à qui dépouillerait de son manteau un paysan qui faisait route. Borée, le premier, souffle comme s'il arrivait du fond de la Thrace, comptant sur sa violence pour dégarnir les épaules du voyageur. Notre homme ne lâche pas pour cela son manteau; mais, glacé de froid, il le serre des deux mains contre son corps, et va s'asseoir, adossé à la saillie d'un rocher. Le Soleil

ΙΖ′. ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΑΛΕΚΤΡΥΩΝ.

Αἴλουρος ἐνεδρεύων
ὄρνεις οἰκίης,
ἀπηρτήθη ὥς τις θύλακος
πασσάλων.
Τὸν δὲ ἀλέκτωρ πινυτὸς
ἀγκυλογλώχιν εἶδε,
καὶ ἐκερτόμησε ταῦτα,
φωνήσας ὀξύ·
« Οἶδα μὲν ἰδὼν
ἤδη πολλοὺς θυλάκους·
οὐδεὶς δὲ εἶχεν
ὀδόντας αἰλούρου ζῶντος. »

17. LE CHAT ET LE COQ.

Un chat tendant-un-piége
aux poules d'une maison (cour),
s'était suspendu comme un sac
à des clous.
Et un coq avisé
au-bec-crochu le vit,
et *le* railla ainsi,
criant d'une-voix-aiguë :
« Je sais ayant vu (que j'ai vu)
déjà beaucoup de sacs :
mais aucun *n'*avait
les dents d'un chat vivant. »

ΙΗ′. ΒΟΡΕΑΣ ΚΑΙ ΗΛΙΟΣ.

Λέγουσιν ἔριν τοιαύτην
γενέσθαι Βορέῃ
Ἡλίῳ τε·
πότερος ἀπεκδύσει τὴν σισύραν
ἀνδρὸς ἀγροίκου ὁδοιποροῦντος.
Βορέης δὲ πρῶτος
ἐφύσα οἷος
ἐκ Θρήικης,
νομίζων
συλήσειν βίᾳ
τὸν φοροῦντα.
Ὁ δὲ
οὐ μεθῆκε
μᾶλλον,
ἀλλὰ ῥιγώσας
καὶ σφίγξας χερσὶ
κύκλῳ
πάντα κράσπεδα, καθῆστο,
κλίνας νῶτον
ἐξοχῇ πέτρης.
Ὁ δὲ Ἥλιος,

18. BORÉE ET LE SOLEIL.

On raconte que la lutte suivante
fut à (entre) Borée
et au Soleil, *à savoir* :
lequel-des-deux ôterait le sarreau
d'un homme paysan faisant-route.
Et Borée le premier
soufflait tel qu'*il souffle*
venant de Thrace,
s'imaginant
qu'il dépouillerait par la violence
celui qui portait *le sarreau.*
Mais celui-ci
n'abandonna *pour cela*
pas davantage *le sarreau*,
au-contraire, transi-de-froid,
et après avoir serré des mains
tout-autour-de *lui*
tous les bords, il s'assit,
ayant appuyé le dos
contre la saillie d'un rocher.
Le Soleil à-son-tour,

Ὁ δ' Ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας,
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους·
ἔπειτα δ' αὖ προσῆγε τὴν ἕλην πλείω,
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης·
αὐτὸς[4] δὲ ῥίψας τὴν σισύραν ἐγυμνώθη.
Βορέης μὲν οὕτω συγχριθεὶς ἐνικήθη.
Λέγει δ' ὁ μῦθος· Πρᾳότητα, παῖ, ζήλου·
ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίῃ ῥέζων.

alors perce les nues, et, montrant sa douce face, fait oublier au voyageur les rigueurs de la froide bise; bientôt sa chaleur devient plus vive, et en un instant le bonhomme sent toutes les ardeurs du midi; aussitôt, et de lui-même, il dépouille et rejette son manteau. Ainsi Borée fut vaincu dans la lutte.

Cette fable te dit : Enfant, use de la douceur : pour réussir, mieux vaut la persuasion que la violence.

ΙΘ'. ΒΟΤΡΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Βότρυς μελαίνης ἀμπέλου παρωρείης[1]
ἀπεκρέμαντο· τοὺς δὲ ποικίλη κερδὼ
ἰδοῦσα πλήρεις, πολλάκις μὲν ὥρμήθη
πηδῶσα ποσσὶ πορφυρῆς θιγεῖν ὥρης[2]·
ἦν γὰρ πέπειρος κεἰς τρύγητον ἀκμαίη·
κάμνουσα δ' ἄλλως (οὐ γὰρ ἴσχυε ψαύειν),
παρῆλθεν, οὕτω βουκολοῦσα[3] τὴν λύπην·
« Ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος ὡς ὤμην. »

19. LE RENARD ET LES RAISINS.

De beaux raisins noirs pendaient au flanc d'une colline; un renard des plus fins, qui les vit si gros et si bien remplis, essaya à force de sauts et de bonds d'atteindre leurs grappes purpurines : ils étaient mûrs, en effet, et tout prêts pour la vendange. Après qu'il se fut donné bien du mal, sans jamais pouvoir les toucher, il s'en retourna, adoucissant ainsi son chagrin : « Ces raisins sont verts; ils ne sont pas mûrs, comme je l'avais cru. »

ἐκκύψας ἡδύς,
αὐτὸν ἀνῆκε τὸ πρῶτον
ψύχους τοῦ δυσηνέμου·
ἔπειτα δὲ αὖ
προσῆγε τὴν ἕλην πλείω,
καὶ ἐξαίφνης καῦμα
εἶχε γεωργόν·
ῥίψας δὲ αὐτὸς
τὴν σισύραν
ἐγυμνώθη.
Βορέης μὲν οὕτως ἐνικήθη
συγκριθείς.
Ὁ μῦθος δὲ λέγει·
Παῖ, ζήλου πραότητα·
ἀνύσεις τι
βέζων μᾶλλον πειθοῖ
ἢ βίᾳ.

perçant doux,
le délivra d'abord
du froid causé-par-la-bise-funeste:
ensuite de-plus
il amena l'ardeur plus-vive,
et en-un-instant la chaleur
possédait le laboureur :
et jetant de-lui-même
le sarreau,
il *en* fut dépouillé.
Borée ainsi fut vaincu
s'étant-mesuré-dans-la-lutte.
La fable dit :
Enfant, pratique la douceur :
tu accompliras une chose
en agissant plutôt par la persuasion
que par la violence.

ΙΘ'. ΒΟΤΡΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Βότρυς ἀμπέλου μελαίνης
ἀπεκρέμαντο παρωρείης·
τοὺς δὲ ποικίλη κερδὼ ἰδοῦσα
πλήρεις,
ὥρμήθη μὲν
πηδῶσα πολλάκις ποσσὶ
θιγεῖν
ὥρης πορφυρῆς·
ἦν γὰρ πέπειρος
καὶ ἀκμαίη εἰς τρύγητον·
κάμνουσα δὲ ἄλλως
(οὐ γὰρ ἴσχυε ψαύειν),
παρῆλθε,
βουκολοῦσα οὕτω τὴν λύπην·
« Ὁ βότρυς ὄμφαξ,
οὐ πέπειρος
ὡς ὤμην. »

19. LES RAISINS ET LE RENARD.

Des raisins d'une vigne noire
pendaient d'un côteau ;
un fin renard les ayant vus
gonflés,
s'efforça
sautant maintes-fois des pieds
pour toucher
au fruit à-la-couleur-foncée :
car il était mûr
et à-point pour la vendange :
mais se fatiguant en-vain
(car il ne parvenait pas à *y* toucher),
il passa,
adoucissant ainsi son chagrin :
« Le raisin *est* vert,
et non mûr
comme je *le* croyais. »

Κ'. ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.

Βοηλάτης ἅμαξαν ἦγεν ἐκ κώμης.
Τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν, αὐτὸς ἀργὸς εἱστήκει·
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα.
Θεὸς δ' ἐπιστάς, εἶπε· « Τῶν τροχῶν ἅπτου,
καὶ τοὺς βόας κέντριζε· τοῖς θεοῖς δ' εὔχου,
ὅταν τι ποιῇς καὐτός[1], ἢ μάτην εὔξῃ. »

20. LE BOUVIER ET HERCULE.

Un bouvier conduisait un chariot hors de son village. La voiture tomba dans un trou profond; au lieu de faire effort pour la sortir, l'homme s'arrêta, et, pour toute besogne, se mit à invoquer Hercule, le seul d'entre les dieux qu'il voulût honorer et adorer. Le dieu se montre et lui dit : « Mets la main à la roue, pique tes bœufs; appelle les dieux quand tu te seras aidé toi-même, ou tu les appelleras en vain. »

ΚΑ'. ΒΟΕΣ.

Βόες μαγείρους ἀπολέσαι ποτ' ἐζήτουν,
ἔχοντας αὐτοῖς πολεμίην ἐπιστήμην.
Καὶ δὴ συνηθροίζοντο, πρὸς μάχην ἤδη
κέρατ'[1] ἀποξύνοντες. Εἷς δέ τις λίην
γέρων ἐν αὐτοῖς πολλὰ γῆν ἀροτρεύσας,
« Οὗτοι μὲν ἡμᾶς, » εἶπε, « χερσὶν ἐμπείροις
σφάζουσι καὶ κτείνουσι χωρὶς αἰχίης[2].
ἦν δ' εἰς ἀτέχνους ἐμπέσωμεν ἀνθρώπους,

21. LES BŒUFS.

Les bœufs un jour cherchaient à se défaire des bouchers, dont la profession leur est si funeste. Déjà ils s'attroupaient et aiguisaient leurs cornes pour le combat. Un des leurs, un vieux bœuf qui avait longtemps traîné la charrue, leur dit : « Du moins, ceux-ci ont la main habile et nous tuent sans nous faire trop de mal; mais ce sera

Κ'. ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.

Βοηλάτης ἦγεν
ἅμαξαν ἐκ κώμης.
Τῆς δὲ ἐμπεσούσης
εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν,
αὐτὸς εἱστήκει
ἀργός·
προσηύχετο δὲ τῷ Ἡρακλεῖ,
ὃν μόνον πάντων θεῶν
προσεκύνει τε καὶ ἐτίμα ἀληθῶς.
Θεὸς δὲ ἐπιστάς,
εἶπεν·
« Ἅπτου τῶν τροχῶν,
καὶ κέντριζε τοὺς βόας·
εὔχου δὲ τοῖς θεοῖς,
ὅταν καὶ αὐτὸς
ποιῇς τι,
ἢ εὔξῃ μάτην. »

20. LE BOUVIER ET HERCULE.

Un bouvier conduisait
un chariot hors d'un village.
Celui-ci s'étant enfoncé
dans un trou profond,
tandis-qu'il-fallait aider,
lui-même (le bouvier) se-tenait-là
oisif :
et il adressait-des-prières à Hercule,
lequel seul de tous les dieux
il adorait et honorait en-réalité.
Or le dieu s'étant approché
lui dit :
« Mets-la-main aux roues,
et pique les bœufs :
et adresse-tes-prières aux dieux,
quand toi-même aussi
tu fais quelque-chose,
ou bien tu *les* prieras en-vain. »

ΚΑ'. ΒΟΕΣ.

Βόες ποτὲ
ἐζήτουν ἀπολέσαι μαγείρους,
ἔχοντας ἐπιστήμην
πολεμίην αὐτοῖς.
Καὶ συνηθροίζοντο δή,
ἀποξύνοντες ἤδη
κέρατα πρὸς μάχην.
Εἷς δέ τις ἐν αὐτοῖς λίην γέρων,
ἀροτρεύσας πολλὰ γῆν,
εἶπεν· « Οὗτοι μὲν
ἡμᾶς σφάζουσι
χερσὶν ἐμπείροις,
καὶ κτείνουσι χωρὶς αἰκίης·
ἢν δὲ ἐμπέσωμεν
εἰς ἀνθρώπους ἀτέχνους,

21. LES BOEUFS.

Une fois les bœufs
cherchaient à tuer les bouchers,
qui avaient une profession
hostile à eux.
Et ils s'attroupaient donc,
aiguisant déjà
les cornes pour le combat.
Mais un parmi eux, bien vieux,
ayant labouré beaucoup la terre,
dit : « Ceux-ci du moins
nous égorgent
avec des mains expertes,
et *nous* tuent sans outrage ;
mais si nous tombons
sur des hommes inhabiles,

διπλοῦς τότ' ἔσται θάνατος· οὐ γὰρ ἐλλείψει
τὸν βοῦν ὁ θύσων, κἂν μάγειρος ἐλλείψῃ. »
[Ὁ τὴν παροῦσαν πημονὴν φεύγειν σπεύδων
ὁρᾷν ὀφείλει μή τι χεῖρον ἐξεύρῃ.]

deux fois mourir que de tomber sous les coups de maladroits ; à défaut de bouchers, les bœufs auront encore assez d'égorgeurs. »
Avant de fuir un mal présent, vois à ne pas tomber dans un pire.

ΚΒ'. ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΔΥΟ ΕΡΩΜΕΝΑΙ.

Βίου τις ἤδη τὴν μέσην ἔχων ὥρην
(νέος μὲν οὐκ ἦν, οὐδέπω δὲ πρεσβύτης),
λευκαῖς μελαίνας μιγάδας ἐκλόνει χαίτας·
εἶτ' εἰς ἔρωτας ἐσχόλαζε καὶ κώμους.
Ἦρα γυναικῶν δύο, νέης τε καὶ γραίης·
νέον μὲν αὐτὸν ἡ νεῆνις ἐζήτει
βλέπειν ἐραστήν, συγγέροντα δ' ἡ γραίη.
Τῶν οὖν τριχῶν ἑκάστοθ' ἡ μὲν ἀκμαίη
ἔτιλλεν ἃς ηὕρισκε λευκανθιζούσας·
ἔτιλλε δ' ἡ γραῦς, εἰ μέλαιναν ηὑρήκει·
ἕως φαλακρὸν ἡ νέη τε χἡ γραίη
ἔθηκ'[1], ἑκάστη τῶν τριχῶν ἀποσπῶσα.
[Ἀεὶ γὰρ ἕν γε[2] τιλλόμενος ἐγυμνοῦτο.

22. L'HOMME ENTRE DEUX AGES ET SES DEUX MAITRESSES.

Un homme de moyen âge, ni vieux ni jeune, portait une chevelure mêlée de blanc et de noir ; il n'en partageait pas moins son temps entre les amours et les joyeux festins. Il avait deux maîtresses, l'une encore fraîche, l'autre déjà sur le retour : la jeune voulait voir en lui un jeune amant ; la vieille voulait un vieux comme elle. Aussi chaque jour la jeune arrachait les cheveux qu'elle trouvait grisonnants ; la vieille, de son côté, saccageait les noirs ; tant qu'enfin, à force de les arracher à l'envi, la vieille et la jeune le rendirent chauve : épilé poil à poil, notre amoureux fut mis à nu.

τότε θάνατος ἔσται διπλοῦς·
ὁ γὰρ θύσων τὸν βοῦν
οὐκ ἐλλείψει,
καὶ ἐὰν μάγειρος ἐλλείψῃ. »
[Ὁ σπεύδων φεύγειν
τὴν πημονὴν παροῦσαν
ὀφείλει ὁρᾷν
μὴ ἐξεύρῃ
χεῖρόν τι.]

alors la mort sera double :
car celui qui-immolera le bœuf
ne manquera pas (jamais),
même-si le boucher manque. »
[Celui qui-se-hâte d'échapper
au mal présent
doit voir (prendre garde)
qu'il ne trouve
quelque-chose de pire.]

ΚΒ'. ΑΝΗΡ ΜΕΣΟΠΟΛΙΟΣ ΚΑΙ ΔΥΟ ΕΡΩΜΕΝΑΙ.

Ἔχων τις ἤδη
ὥρην τὴν μέσην βίου
(ἦν μὲν οὐ νέος,
οὐδέπω δὲ πρεσβύτης),
ἐκλόνει χαίτας μελαίνας
μιγάδας λευκαῖς·
εἶτα ἐσχόλαζεν
εἰς ἔρωτας καὶ κώμους.
Ἦρα δύο γυναικῶν,
νέης τε καὶ γραίης·
ἡ μὲν νεῆνις ἐζήτει βλέπειν αὐτὸν
νέον ἐραστήν,
ἡ δὲ γραίη συγγέροντα.
Ἡ μὲν οὖν
ἀκμαίη
ἔτιλλεν ἑκάστοτε
τῶν τριχῶν ἃς ηὕρισκε
λευκανθιζούσας·
ἡ δὲ γραῦς ἔτιλλεν,
εἰ ηὑρήκει μέλαιναν,
ἕως
ἡ νέη τε καὶ ἡ γραίη
ἔθηκε φαλακρόν,
ἑκάστη ἀποσπῶσα τῶν τριχῶν.
[Τιλλόμενος γὰρ ἀεὶ ἕν γε
ἐγυμνοῦτο.

22. L'HOMME ENTRE DEUX AGES ET SES DEUX MAITRESSES.

Quelqu'un ayant déjà
l'âge moyen de la vie
(il n'était pas jeune,
pas-encore cependant vieillard),
agitait des cheveux noirs
entremêlés par de gris :
ensuite (et cependant) il s'adonnait
à des amours et à de joyeux-festins.
Il aimait deux femmes,
et une jeune et une vieille :
la jeune désirait voir *en* lui
un jeune amant,
et la vieille un vieux-comme *elle*.
Celle donc
qui-était-dans-sa-fraîcheur
arrachait chaque-fois
des cheveux ceux qu'elle trouvait
étant-blancs :
la vieille aussi arrachait,
quand elle trouvait un noir,
jusqu'à-ce-que
et la jeune et la vieille
*l'*eut (l'eurent) rendu chauve,
chacune arrachant de ses cheveux.
[Car épilé toujours un à un,
il était rendu-nu (chauve).

Φάσκει δ' ὁ μῦθος τοῦτο πᾶσιν ἀνθρώποις·
Ἐλεεινὸς ὅστις εἰς γυναῖκας ἐμπίπτει·
ἀεὶ γὰρ ἕν γε δακνόμενος[3*] γυμνοῦται.]

Cette fable s'adresse à tous les hommes et leur dit : « Bien à plaindre est celui qui tombe entre les mains des femmes ; sans cesse tourmenté par elles, il finit par être dépouillé. »

ΚΓ'. ΒΟΗΛΑΤΗΣ ΤΑΥΡΟΝ ΑΠΟΛΕΣΑΣ.

Βοηλάτης ἄνθρωπος εἰς[1] μακρὴν ὕλην
ταῦρον κεράστην ἀπολέσας ἀνεζήτει·
ἔθηκε δ' εὐχὴν ταῖς ὀρεινόμοις νύμφαις,
Ἑρμῇ νομαίῳ[2], Πανί, τοῖς πέριξ, ἄρνα
λοιβὴν[3] παρασχεῖν, εἰ λάβοι γε τὸν κλέπτην.
Ὄχθον δ' ὑπερβάς, τὸν καλὸν βλέπει ταῦρον
λέοντι θοίνην· δυστυχὴς ὃ' ἐπαρᾶται
καὶ βοῦν προσάξειν[4], εἰ φύγοι γε τὸν κλέπτην.
[Ἐντεῦθεν ἡμᾶς τοῦτ' ἔοικε γινώσκειν,
ἄβουλον εὐχὴν τοῖς θεοῖσι μὴ πέμπειν,
ἐκ τῆς πρὸς ὥρην ἐκφορουμένους λύπης.]

23. LE BOUVIER QUI A PERDU SON TAUREAU.

Un bouvier cherchait dans une vaste forêt un taureau aux belles cornes qu'il avait perdu ; il faisait vœu aux nymphes des montagnes, à Mercure, dieu des pâturages, à Pan, à toutes les divinités d'alentour, de leur sacrifier un agneau s'il attrapait le voleur : arrivé au sommet d'une colline, il voit son beau taureau, dont un lion faisait son repas. Le malheureux aussitôt promet d'offrir un bœuf s'il échappe à son voleur.

Ceci nous apprend qu'il ne faut point nous laisser emporter par la douleur du moment à adresser aux dieux des vœux irréfléchis.

ΚΔ'. ΓΑΜΟΙ ΗΛΙΟΥ.

Γάμοι μὲν ἦσαν Ἡλίου θέρους ὥρῃ[1]·
τὰ ζῷα δ' ἱλαροὺς ἦγε τῷ θεῷ χώμους.

24. LES NOCES DU SOLEIL.

On célébrait un été les noces du Soleil ; pour faire honneur au dieu, les animaux se livraient aux plaisirs des festins. Les grenouilles même

Ὁ μῦθος δὲ φάσκει τοῦτο
πᾶσιν ἀνθρώποις·
Ἐλεεινὸς ὅστις
ἐμπίπτει εἰς γυναῖκας·
ἀεὶ γὰρ δακνόμενος
ἕν γε γυμνοῦται.]

Cette fable enseigne cela
à tous les hommes :
Digne-de-pitié *est* celui-qui
tombe entre les *mains des* femmes ;
car toujours tourmenté
en une-et-une-chose, il est dépouillé.]

ΚΓ'. ΒΟΗΛΑΤΗΣ ΑΠΟΛΕΣΑΣ ΤΑΥΡΟΝ.

Ἄνθρωπος βοηλάτης
ἀπολέσας ταῦρον κεράστην
εἰς ὕλην μακρὴν
ἀνεζήτει·
ἔθηκε δὲ εὐχὴν νύμφαις
ταῖς ὀρεινόμοις,
Ἑρμῇ νομαίῳ,
Πανί, τοῖς πέριξ,
παρασχεῖν λοιβὴν ἄρνα,
εἰ λάβοι γε τὸν κλέπτην.
Ὑπερβὰς δὲ ὄχθον,
βλέπει τὸν καλὸν ταῦρον
θοίνην λέοντι·
δυστυχὴς δὲ ἐπαρᾶται
προσάξειν καὶ βοῦν,
εἰ φύγοι γε τὸν κλέπτην.
[Ἐντεῦθεν ἔοικεν
ἡμᾶς γινώσκειν τοῦτο·
μὴ πέμπειν
τοῖς θεοῖς
εὐχὴν ἄβουλον,
ἐκφερουμένους
ἐκ λύπης τῆς πρὸς ὥρην.]

23. LE BOUVIER QUI A PERDU UN TAUREAU.

Un homme bouvier
ayant perdu un taureau cornu
échappé dans une forêt vaste,
le cherchait ;
et il fit vœu aux nymphes,
à celles-qui-habitent-les-montagnes,
à Mercure dieu-des-pâturages,
à Pan, aux *divinités* d'alentour,
de *leur* offrir *en* libation un agneau,
si du moins il attrapait le larron.
Et ayant passé-par-dessus une colline,
il voit le beau taureau
devenu repas à un lion;
et le malheureux fait-vœu
qu'il offrira même un bœuf,
si du-moins il échappe au voleur.
[De-là il convient
que nous reconnaissions cela :
à savoir, qu'il ne *faut* pas adresser
aux dieux
un vœu imprudent,
en nous-laissant-emporter
par une douleur du moment.]

ΚΔ'. ΓΑΜΟΙ ΗΛΙΟΥ.

Ὥρῃ θέρους
γάμοι μὲν Ἡλίου ἦσαν·
τὰ ζῷα δὲ ἦγε
τῷ θεῷ

24. LES NOCES DU SOLEIL.

Au temps d'été
les noces du Soleil avaient-lieu :
et les animaux célébraient
au (en l'honneur du) dieu

Καὶ βάτραχοι δὲ λιμνάδας χοροὺς ἦγον·
οὓς εἶπε παύσας φρῦνος· « Οὐχὶ παιάνων
τοῦτ' ἐστὶν[2] ἡμῖν, φροντίδων δὲ καὶ λύπης·
ὃς γὰρ μόνος νῦν λιβάδα πᾶσαν αὐαίνει,
τί μὴ πάθωμεν τῶν κακῶν, ἐὰν γήμας
ὅμοιον αὑτῷ παιδίον τι γεννήσῃ; »
Χαίρουσι πολλοὶ τῶν ὑπερβολῇ κούφων
ἐφ' οἷς ἄγαν μέλλουσιν οὐχὶ χαιρήσειν.

dansaient dans leurs marécages; un crapaud mit le holà et leur dit : « Ceci n'est pas pour nous un sujet de chants ni de fêtes, mais bien plutôt de soucis et de douleur. Seul à cette heure il met à sec tout le marais; que n'aurons-nous point à souffrir après son mariage, s'il lui vient un fils qui lui ressemble? »

Bien des gens trop étourdis se réjouissent de choses dont ils ne devraient pas se réjouir.

ΚΕ'. ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Γνώμη λαγωοὺς εἶχε[1] μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν[2] ὕδωρ,
ὀθούνεκ' εἰσὶν ἀδρανέστατοι ζώων,
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
Ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης,
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων
βαθέην[3] ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,

25. LES LIÈVRES ET LES GRENOUILLES.

Les lièvres prirent un jour la résolution de ne pas vivre davantage, et de s'aller jeter tous ensemble dans l'eau noire d'un marais; ils avaient honte d'être les plus faibles des animaux, des âmes sans courage, de ne savoir que fuir. Arrivés près d'un grand marécage, et voyant sur les bords une troupe de grenouilles qui sautaient, grouillaient et rentraient au plus vite dans la vase profonde, ils s'arrê-

ἱλαροὺς κώμους.
Καὶ βάτραχοι δὲ λιμνάδες
ἦγον χορούς·
οὓς φρῦνος παύσας
εἶπε·
« Τοῦτο οὐχὶ ἔστιν ἡμῖν
παιάνων,
φροντίδων δὲ καὶ λύπης·
ὃς γὰρ νῦν μόνος
αὐαίνει πᾶσαν λιβάδα,
τί τῶν κακῶν
μὴ πάθωμεν,
ἐὰν γήμας
γεννήσῃ παιδίον τι
ὅμοιον αὐτῷ; »
Πολλοὶ
τῶν κούφων ὑπερβολῇ
χαίρουσιν
ἐπὶ οἷς οὐχὶ μέλλουσι λίην
χαιρήσειν.

de joyeux festins.
Et les grenouilles du-marécage aussi
conduisaient des danses : [ser,
lesquelles un crapaud ayant fait ces-
dit :
« Ceci n'est point pour nous
un sujet de péans,
mais *plutôt* de soucis et de chagrin :
car celui qui maintenant seul
dessèche tout le marais,
lequel des maux
ne devons-nous-pas-souffrir,
lorsque s'étant-marié
il aura engendré un enfant
semblable à lui-même ? »
Bien-des-gens
de ceux-qui-sont-légers à-l'excès
se réjouissent *des choses*,
dont il ne doivent pas trop
se réjouir.

ΚΕ'. ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.

Γνώμη μηκέτι ζῴειν,
πεσεῖν δὲ πάντας
εἰς ὕδωρ μέλαν λίμνης,
εἶχε λαγωούς,
ὁθούνεκά εἰσιν
ἀδρανέστατοι ζώων,
ἄτολμοί τε
ψυχάς,
εἰδότες μοῦνον φεύγειν.
Ἐπεὶ δὲ ἦσαν
ἐγγὺς εὐρείης λίμνης,
καὶ εἶδον ὅμιλον
βατράχων ἀκταίων
πηδώντων ὀκλαδιστὶ
εἰς βαθέην ἰλύν, ἐπεστάθησαν.

25. LES LIÈVRES ET LES GRENOUILLES.

Une résolution de ne plus vivre,
mais de tomber (se jeter) tous
dans l'eau noirâtre d'un marais,
possédait les lièvres,
parce qu'ils sont (étaient)
les plus faibles des animaux,
et dépourvus-de-courage
dans *leurs* âmes,
sachant seulement fuir.
Or lorsqu'ils furent
près d'un vaste marais,
et qu'ils virent la troupe
des grenouilles riveraines
sautant cuisses-repliées
dans la profonde vase, ils s'arrêtèrent.

ἐπεστάθησαν. Καί τις εἶπε θαρσήσας·
« Ἄψ νῦν ἴωμεν· οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἄλλους ἀσθενεστέρους ἡμῶν. »

tèrent. Un d'eux, reprenant courage, leur dit : « Retournons ; à quoi bon mourir ? j'en vois d'ici de plus poltrons que nous. »

ΚΣ'. ΓΕΩΡΓΟΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Γέρανοι γεωργοῦ κατενέμοντο τὴν χώρην
ἐσπαρμένην νεωστὶ πυρίνῳ σίτῳ.
Ὁ δ' ἄχρι πολλοῦ[1] σφενδόνην κενὴν σείων,
ἐδίωκεν αὐτὰς τῷ φόβῳ καταπλήσσων.
Αἱ δ' ὡς ἐπέσχον[2] σφενδονῶντα τὰς αὔρας,
κατεφρόνησαν λοιπὸν ὥστε μὴ φεύγειν,
ἕως ἐκεῖνος οὐκέθ', ὡς πρὶν εἰώθει,
λίθους δὲ βάλλων, ἠλόησε τὰς πλείους.
Αἱ δ' ἐκλιποῦσαι τὴν ἄρουραν, ἀλλήλαις
« Φεύγωμεν, » ἐκραύγαζον, « εἰς τὰ Πυγμαίων[3]·
ἄνθρωπος οὗτος οὐκέτ' ἐκφοβεῖν ἡμᾶς
ἔοικεν· ἤδη δ' ἄρχεταί τι καὶ πράσσειν. »

26. LE LABOUREUR ET LES GRUES.

Des grues ravageaient le champ d'un laboureur qui venait de semer du froment. Il perdit bien du temps à les poursuivre en agitant une fronde vide qui les frappait d'épouvante. Elles, voyant qu'il ne frappait que les airs, finirent par se moquer de lui, et ne se sauvèrent plus, jusqu'à ce que l'homme, se ravisant, leur lança des pierres et en assomma bon nombre. Aussitôt elles quittent le champ, et se crient l'une à l'autre : « Fuyons chez les Pygmées ; cet homme se contentait de nous effrayer tout à l'heure, maintenant il y va tout de bon. »

Καί τις εἶπε
θαρσήσας·
« Νῦν ἴωμεν ἄψ·
οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἄλλους
ἀσθενεστέρους ἡμῶν. »

Et un *d'entr'eux* dit,
ayant-pris-courage :
« Maintenant allons en-arrière ;
il n'*est* plus nécessaire de mourir :
car je vois d'autres
plus faibles que nous. »

ΚΣ'. ΓΕΩΡΓΟΣ ΚΑΙ ΓΕΡΑΝΟΙ.

Γέρανοι κατενέμοντο
τὴν χώρην γεωργοῦ
νεωστὶ ἐσπαρμένην
σίτῳ πυρίνῳ.
Ὁ δὲ ἄχρι πολλοῦ
σείων σφενδόνην κενήν,
αὐτὰς ἐδίωκε καταπλήσσων
τῷ φόβῳ.
Αἱ δὲ
ὡς ἐπέσχον
σφενδονῶντα
τὰς αὔρας,
κατεφρόνησαν λοιπὸν
ὥστε μὴ φεύγειν,
ἕως ἐκεῖνος
οὐκέτι, ὡς πρὶν
εἰώθει,
βάλλων δὲ λίθους, ἠλοίησε
τὰς πλείους.
Αἱ δὲ
ἐκλιποῦσαι τὴν ἄρουραν,
ἐκραύγαζον ἀλλήλαις·
« Φεύγωμεν εἰς τὰ Πυγμαίων·
οὗτος ὁ ἄνθρωπος ἔοικεν
οὐκέτι ἡμᾶς ἐκφοβεῖν.
ἤδη δὲ ἄρχεταί τι
καὶ πράσσειν. »

26. LE LABOUREUR ET LES GRUES.

Des grues ravageaient
le terrain d'un laboureur,
terrain nouvellement ensemencé
de grain de-froment.
Lui jusqu'à longtemps
agitant une fronde vide,
les poursuivait en *les* frappant
par la peur.
Or celles-ci,
dès qu'elles reconnurent
qu'il-frappait-de-*sa*-fronde
les airs,
s'*en* moquèrent ensuite,
de manière à ne pas fuir ;
jusqu'à ce que l'autre
n'*agit* plus, comme auparavant
il-avait-coutume *de faire*,
mais lançant des pierres, assomma
le plus grand nombre d'*entr'elles*.
Et elles
abandonnant le champ,
criaient l'une-à-l'autre :
« Fuyons vers les *terres* des Pygmées:
cet homme semble
ne plus nous effrayer *seulement*,
mais maintenant il commence un peu
à agir aussi. »

ΚΖ′. ΓΑΛΗ ΣΥΛΛΗΦΘΕΙΣΑ.

Γαλῆν δόλῳ τις συλλαβών τε καὶ δήσας,
ἔπνιγεν[1] ὑδάτων ἐν συναγγίᾳ κοίλῃ·
τῆς δ' αὖ λεγούσης, « Ὡς κακὴν χάριν τίνεις
ὧν σ' ὠφέλουν θηρῶσα μῦς τε καὶ σαύρας· »
« Ἐπιμαρτυρῶ σοι, » φησίν· « ἀλλὰ καὶ πάσας
ἔπνιγες ὄρνεις[2], πάντα δ' οἶκον ἠρήμους,
βλάπτουσα μᾶλλον, ἤπερ ὠφελοῦσ' ἡμᾶς. »

27. LA BELETTE.

Un homme avait pris une belette au piége; il la garrotta et voulait la noyer dans un grand trou rempli d'eau. Celle-ci lui dit : « Me voilà bien payée des services que je t'ai rendus en faisant la chasse aux rats et aux lézards! — A la bonne heure! répondit l'homme; mais tu étranglais toutes mes poules et dévastais toute ma basse-cour; tu m'as fait beaucoup plus de mal que de bien. »

ΚΗ′. ΒΟΥΣ ΚΑΙ ΦΡΥΝΟΣ.

Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων·
ἐλθοῦσα δ' αὐτόσ' (οὐ παρῆν γάρ) ἡ μήτηρ,
παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
« Τέθνηκε, μῆτερ, εἶπον· ἄρτι τῆς ὥρης
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται
χηλῇ μαλαχθέν[1]. » Ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ' ἑαυτήν, εἰ τοιοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. Οἱ δὲ μητρί, « Παῦε, μὴ πρίου[2]·

28. LE BOEUF ET LA GRENOUILLE.

Un bœuf en s'abreuvant écrasa le petit d'une grenouille; la mère survint (car elle ne s'était pas trouvée là), et demanda à ses autres enfants où était leur frère : « Mère, il est mort; tout à l'heure, il n'y a qu'un instant, il est venu une grosse bête à quatre pieds qui l'a écrasé sous sa patte; il est étendu là. » La grenouille s'enflant alors demanda si l'animal était bien aussi gros qu'elle. « Mère, crièrent-ils,

ΚΖ'. ΓΑΛΗ ΣΥΛΛΗΦΘΕΙΣΑ.

Συλλαβών τις δόλῳ τε
καὶ δήσας γαλῆν, ἔπνιγεν
ἐν συναγγίᾳ κοίλῃ
ὑδάτων·
τῆς δὲ αὖ λεγούσης·
« Ὡς τίνεις
κακὴν χάριν
ὧν σε ὠφέλουν
θηρῶσα
μῦς τε καὶ σαύρας, »
φησίν·
« Ἐπιμαρτυρῶ σοι·
ἀλλὰ καὶ ἔπνιγες
πάσας ὄρνεις,
ἠρέμους δὲ
πάντα οἶκον,
βλάπτουσα μᾶλλον,
ἤπερ ἡμᾶς ὠφελοῦσα. »

27. LA BELETTE PRISE.

Quelqu'un ayant pris par ruse
et lié une belette, *l'*étouffait
dans un réservoir profond
plein d'eaux :
celle-ci de-son-côté disant :
« Comme tu *me* paies
une mauvaise récompense
pour les-services-que je t'ai rendus
en prenant-à-la-chasse
et les rats et les lézards! »
il répondit :
« Je t'*en*-rends-témoignage :
mais aussi tu étranglais
toutes *mes* poules,
et tu dévastais
toute *ma* maison (basse-cour),
nuisant plus
que nous rendant-des-services. »

ΚΗ'. ΒΟΥΣ ΚΑΙ ΦΡΥΝΟΣ.

Βοῦς πίνων συνεπάτησε
γέννημα φρύνου·
ἡ δὲ μήτηρ ἐλθοῦσα αὐτόσε
(οὐ γὰρ παρῆν),
ἐπεζήτει παρὰ τῶν ἀδελφῶν
ποῦ ποτε ἦν.
« Μῆτερ, εἶπον, τέθνηκεν·
ἄρτι τῆς ὥρης
ἦλθε τετράπουν πάχιστον,
ὑπὸ οὗ κεῖται
μαλαχθὲν χηλῇ. »
Ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσα ἑαυτήν,
εἰ τὸ ζῷον ἦν τοιοῦτον ὄγκῳ.
Οἱ δὲ εἶπον μητρί·
« Παῦε, μὴ πρίου·

28. LE BOEUF ET LE CRAPAUD.

Un bœuf buvant écrasa-du-pied
la progéniture d'un crapaud;
et la mère étant venue-sur-les-lieux
(car elle n'avait pas été présente),
s'informait auprès des frères
où donc elle (la progéniture) était.
« Mère, dirent-ils, elle est morte :
tantôt à l'instant
survint un quadrupède très-gros,
sous lequel elle est étendue
broyée par la corne-de-*son*-pied. »
Et le crapaud demandait
en se gonflant lui-même,
si l'animal était tel en grosseur.
Mais ceux-ci dirent à la mère :
« Cesse, ne crève pas :

θᾶσσον σεαυτήν, » εἶπον, « ἐκ μέσου[3] ῥήξεις,
ἢ τὴν ἐκείνου ποιότητα μιμήσῃ.

cesse, et ne te fais pas crever ; car tu te rompras en deux avant d'égaler l'autre en grosseur. »

ΚΘ'. ΠΠΟΣ ΓΕΡΩΝ.

Γέρων ποθ' ἵππος εἰς ἁλητὸν ἐπράθη.
Ζευχθεὶς δ' ὑπὸ μύλην ἑσπέρην τάλας πᾶσαν
. . . . . .
καὶ δὴ[1] στενάξας, εἶπεν· « Ἐκ δρόμων οἵων
καμπτῆρας οἵους ἁλφιτεῦσι γυρεύω. »
[Μὴ λίαν ἐπαίρου πρὸς τὸ τῆς ἀκμῆς γαῦρον·
πολλοῖς τὸ γῆρας εἰς πόνους ἀνηλώθη[2].]

29. LE CHEVAL DEVENU VIEUX.

Un jour un vieux cheval fut vendu à un meunier. Le malheureux, attelé tout le soir à la meule, dit en gémissant : « Faut-il qu'après tant de glorieuses courses, je sois réduit à tourner ainsi pour des meuniers, et autour de quelles bornes! »

Ne t'enorgueillis pas trop de l'éclat de ta jeunesse ; bien des gens consument dans d'humbles travaux leurs derniers jours.

Λ'. ΛΙΘΟΥΡΓΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Γλύψας ἐπώλει λύγδινόν τις Ἑρμείην.
Τὸν δ' ἠγόραζον[1] ἄνδρες, ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ αὐτῷ προσφάτως ἐτεθνήκει),
ὁ δέ, χειροτέχνης, ὡς θεὸν καθιδρύσων.
Ἦν δ' ὀψέ· χὠ λιθουργὸς οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς εἰς τὸν ὄρθρον[2] αὖ δεῖξαι

30. LE STATUAIRE ET MERCURE.

Un statuaire mit en vente un Hermès de marbre blanc qu'il avait sculpté. Deux hommes le marchandaient : l'un, dont le fils venait de mourir, pour en faire un cippe ; l'autre, qui était artisan, voulait l'établir chez lui comme un dieu. Il se faisait tard, et le statuaire n'avait pas vendu; il convint avec eux de leur montrer de nouveau le buste s'ils revenaient le lendemain matin. Mais, durant son sommeil,

θᾶσσον ῥήξεις
σεαυτὴν ἐκ μέσου,
ἢ μιμήσῃ
τὴν ποιότητα ἐκείνου. »

plutôt tu *te* rompras
toi-même par le milieu,
que tu n'imiteras
la grosseur de l'autre. »

ΚΘ'. ΙΠΠΟΣ ΓΕΡΩΝ.

Ἵππος ποτὲ γέρων
ἐπράθη εἰς ἀλητόν.
Ζευχθεὶς δὲ ὑπὸ μύλην τάλας
πᾶσαν ἑσπέρην....
Καὶ δὴ εἶπε στενάξας·
« Ἐξ οἵων δρόμων
γυρεύω οἵους καμπτῆρας
ἀλφιτεῦσι. »
[Μὴ ἐπαίρου λίαν
πρὸς τὸ γαῦρον τῆς ἀκμῆς.
Πολλοῖς τὸ γῆρας
ἀνηλώθη εἰς πόνους.]

29. LE CHEVAL DEVENU VIEUX.

Un-jour un cheval *devenu* vieux
fut vendu pour *moudre* la farine.
Et attelé à la meule, le malheureux,
toute la soirée....
Et alors il dit en gémissant :
« Après quelles courses
je tourne *autour de* quelles bornes
pour des meuniers! »
[Ne t'élève pas trop
au-sujet-de la fierté de *ta* jeunesse.
A-bien-des-gens la vieillesse
fut consumée en fatigues.]

Λ'. ΛΙΘΟΥΡΓΟΣ ΚΑΙ ΕΡΜΗΣ.

Γλύψας τις
Ἑρμείην
λύγδινον
ἐπώλει.
Τὸν δὲ ἄνδρες ἠγόραζον,
ὃς μὲν εἰς στήλην
(υἱὸς γὰρ
αὐτῷ ἐτεθνήκει προσφάτως),
ὁ δέ, χειροτέχνης, καθιδρύσων
ὡς θεόν.
Ἦν δὲ ὀψέ· καὶ ὁ λιθουργὸς
οὐκ ἐπεπράκει,
συνθέμενος αὐτοῖς
δεῖξαι
ἐλθοῦσιν αὖ εἰς τὸν ὄρθρον.

30. LE STATUAIRE ET MERCURE.

Quelqu'un ayant sculpté
une statue-de-Mercure
de-marbre-blanc,
la mettait-en-vente.
Des hommes la marchandaient,
l'un pour *en faire* une stèle
(car un fils
lui était mort récemment),
l'autre, artisan, voulant *l'*ériger
comme un dieu.
Or il était tard : et le lapicide
ne *l'*avait pas vendue,
étant convenu avec eux
de *la* montrer *à eux* [matin.
étant venus de-nouveau pour le

ἐλθοῦσιν. Ὁ δὲ λιθουργὸς εἶδεν ὑπνώσας
αὐτὸν τὸν Ἑρμῆν ἐν πύλαις ὀνειρείαις[3],
« Ἥδη, » λέγοντα, « τἀμὰ νῦν ταλαντεύῃ·
ἓν[4] γάρ με νεκρὸν ἢ θεὸν σὺ ποιήσεις. »

le sculpteur vit sur la porte des songes Mercure lui-même qui lui disait : « Mon sort est dans tes mains; tu peux à ton choix faire de moi ou un mort ou un dieu. »

ΑΑ'. ΓΑΛΑΙ ΚΑΙ ΜΥΕΣ.

Γαλαῖ ποτ' εἶχον καὶ μύες πρὸς ἀλλήλους
ἄσπονδον αἰεὶ πόλεμον, αἱμάτων πλήρη·
γαλαῖ δ' ἐνίκων. Οἱ μύες δὲ τῆς ἥττης
ἐδόκουν ὑπάρχειν αἰτίην σφίσιν ταύτην,
ὅτι στρατηγοὺς οὐκ ἔχοιεν ἐκδήλους,
ἀεὶ δ' ἀτάκτως ὑπομένουσι[1] κινδύνους.
Εἵλοντο τοίνυν τοὺς γένει τε καὶ ῥώμῃ
γνώμῃ τ' ἀρίστους, εἰς μάχην τε γενναίους,
οἳ σφᾶς ἐκόσμουν, καὶ διεῖλον εἰς ἴλας[2]
λόχους τε καὶ φάλαγγας, ὡς ἐν ἀνθρώποις.
Ἐπεὶ δ' ἐτάχθη πάντα καὶ συνηθροίσθη,
[καί τις γαλῆν μῦς προὐκαλεῖτο θαρσήσας,]
οἵ τε στρατηγοὶ λεπτὰ πηλίνων τοίχων[3]

31. LES BELETTES ET LES RATS.

Les belettes et les rats se faisaient une guerre implacable et sanglante; les belettes étaient victorieuses. Les rats attribuaient leur défaite au manque de généraux qui se missent à leur tête et ne les laissassent plus courir tout en désordre aux batailles. Ils choisirent donc ceux qui se distinguaient le plus par leur naissance et leur force, les plus consommés en prudence, les plus valeureux dans les combats. Nos capitaines mirent partout la discipline, les partagèrent en bataillons, en cohortes, en phalanges, comme chez les hommes. Quand ils furent tous rassemblés et rangés en bataille, et qu'un rat plus courageux eut défié une belette, les chefs, ayant orné le haut de leur tête de petits brins de paille qu'ils avaient enlevés à des murs de boue

Ὁ δὲ λιθουργὸς
εἶδεν ὑπνώσας τὸν Ἑρμῆν αὐτὸν
ἐν πύλαις ὀνειρείαις λέγοντα·
« Ἤδη νῦν ταλαντεύῃ
τὰ ἐμά·
σὺ γὰρ ποιήσεις με
ἕν
νεκρὸν ἢ θεόν. »

Or le lapicide
vit en dormant Mercure lui-même
sur la porte des-songes, disant :
« Maintenant donc tu pèses
ma-destinée :
en effet, tu feras de moi
*l'*un *des deux*,
ou un mort ou un dieu. »

ΛΑ'. ΓΑΛΑΙ ΚΑΙ ΜΥΕΣ.

Γαλαῖ ποτε καὶ μύες
εἶχον πρὸς ἀλλήλους
αἰεὶ πόλεμον ἄσπονδον,
πλήρη αἱμάτων·
γαλαῖ δὲ ἐνίκων.
Οἱ δὲ μύες ἐδόκουν
αἰτίην τῆς ἥττης
σφίσιν ὑπάρχειν ταύτην,
ὅτι οὐκ ἔχοιεν
στρατηγοὺς ἐκδήλους,
ὑπομένουσι δὲ ἀεὶ
κινδύνους ἀτάκτως.
Εἵλοντο τοίνυν
τοὺς ἀρίστους
γένει τε καὶ ῥώμῃ
γνώμῃ τε,
γενναίους τε εἰς μάχην,
οἳ σφᾶς ἐκόσμουν,
καὶ διεῖλον εἰς ἴλας
λόχους τε καὶ φάλαγγας,
ὡς ἐν ἀνθρώποις.
Ἐπεὶ δὲ πάντα ἐτάχθη
καὶ συνηθροίσθη,
[καὶ μῦς τις θαρσήσας
προὐκαλεῖτο γαλῆν,]
οἵ τε στρατηγοὶ ἁρμόσαντες
μετώποις ἀκραίοις
λεπτὰ κάρφη

31. LES BELETTES ET LES RATS.

Une-fois les belettes et les rats
avaient entr'eux
sans-cesse une guerre implacable,
pleine de carnage :
or les belettes étaient-victorieuses.
Et les rats s'imaginaient
que la cause de la défaite
pour eux était celle-ci,
à savoir, qu'ils n'avaient pas
des chefs distingués,
mais *qu'*ils soutenaient toujours
les périls (combats) sans-discipline.
Ils choisirent donc
les plus distingués
et par la naissance et par la force
et par la prudence,
et vaillants pour le combat,
lesquels les rangeaient-en-ordre,
et *les* divisèrent en bataillons,
et *en* cohortes et *en* phalanges,
comme parmi les hommes.
Et après-que tout fut disposé
et rassemblé,
[et *qu'*un rat ayant-pris-courage
provoquait une belette,]
et *que* les chefs, ayant adapté
à *leurs* fronts extrêmes
de grêles brins-de-paille

κάρφη μετώποις ἁρμόσαντες ἀκραίοις,
ἡγοῦντο, παντὸς ἐκφανέστατοι πλήθους
. . . . . .
Πάλιν δὲ φύζα τοὺς μύας κατειλήφει.
Ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς εἰστρέχοντας οὐκ εἴα
τὰ περισσὰ κάρφη τῆς ὀπῆς ἔσω δύνειν,
μόνοι θ' ἑάλων αὐτόθεν μυχῶν πρόσθεν.
Νίκης δ' ἐπ' αὐτοῖς καὶ τρόπαιον εἵστήκει,
γαλῆς ἑκάστης μῦν στρατηγὸν ἑλκούσης.
Λέγει δ' ὁ μῦθος· Εἰς τὸ ζῆν ἀκινδύνως
τῆς λαμπρότητος ἡὐτέλεια βελτίων.

marchaient en avant, aisés à reconnaître entre tous.... Les rats prirent la fuite de plus belle. La racaille trouva son salut dans ses trous; les commandants seuls, empêchés par leurs aigrettes, ne purent s'y fourrer assez vite, et furent pris à l'entrée même de leurs retraites. On fit des trophées de cette victoire; chaque belette traîna à sa suite un général rat.

La fable nous dit : « Pour fuir le danger, mieux vaut la médiocrité que la plus brillante fortune. »

ΛΒ'. ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ.

Γαλῆ ποτ' ἀνδρὸς εὐπρεποῦς ἐρασθείσῃ
δίδωσι σεμνὴ Κύπρις, ἡ Πόθων μήτηρ[1],
μορφὴν ἀμεῖψαι καὶ λαβεῖν γυναικείην
καλῆς γυναικός, ἧς τίς οὐκ, ἔχων, ἤρα;
Ἰδὼν δ' ἐκεῖνος (ἐν μέρει γὰρ ἡλώκει)
γαμεῖν ἔμελλεν. Ἡρμένου[2] δὲ τοῦ δείπνου,

32. LA BELETTE ET VÉNUS.

Un jour l'auguste Cypris, la mère des Désirs, eut pitié d'une belette qui s'était éprise d'un homme beau comme le jour; elle lui permit de changer de forme, et de se métamorphoser en femme, mais en femme si belle, qu'il était impossible de n'en pas être épris. L'homme la vit, et il allait l'épouser; car, à son tour, il était amoureux. Le

τοίχων πηλίνων,
ἡγοῦντο,
ἐκφανέστατοι
παντὸς πλήθους

pris de murs de-pisé,
marchaient-en-tête,
les plus remarquables
de toute la multitude

Πάλιν δὲ φύζα
κατειλήφει τοὺς μύας.
Ἄλλοι μὲν οὖν
ἦσαν σωθέντες ἐν τρώγλαις·
τοὺς δὲ στρατηγοὺς
κάρφη τὰ περισσὰ
οὐκ εἶα
εἰστρέχοντας
δύνειν ἔσω τῆς ὀπῆς·
μόνοι τε ἑάλων
αὐτόθεν πρόσθε μυχῶν.
Νίκης δὲ ἐπὶ αὐτοῖς
εἱστήκει καὶ τρόπαιον,
ἑκάστης γαλῆς ἑλκούσης
μῦν στρατηγόν.
Ὁ μῦθος δὲ λέγει·
Εἰς τὸ ζῆν ἀκινδύνως
ἡ εὐτέλεια βελτίων
τῆς λαμπρότητος.

Mais de-nouveau la fuite
s'empara des rats.
Les autres donc
étaient sauvés dans des trous :
mais *pour* les chefs,
les brins proéminents
ne *les* laissaient pas
courant-en *lieu de sûreté*
entrer à-l'intérieur du trou ;
et seuls ils furent pris
de-la-place-même devant les trous.
Et de la victoire *remportée* sur eux
il fut dressé aussi un trophée,
chaque belette traînant
un rat général.
La fable *nous* dit :
Pour vivre sans-danger
la médiocrité *est* meilleure
que la fortune-brillante.

ΛΒ'. ΓΑΛΗ ΚΑΙ ΑΦΡΟΔΙΤΗ. 32. LA BELETTE ET VÉNUS.

Ἡ σεμνὴ ποτὲ Κύπρις,
ἡ μήτηρ Πόθων,
δίδωσι γαλῇ
ἐρασθείσῃ ἀνδρὸς εὐπρεποῦς
ἀμεῖψαι μορφὴν
καὶ λαβεῖν γυναικείην
καλῆς γυναικός,
ἧς, ἔχων,
τίς οὐκ ἦρα;
Ἐκεῖνος δὲ ἰδὼν
ἔμελλε γαμεῖν·
ἐν μέρει γὰρ ἠλώκει.

Un-jour l'auguste Cypris,
la mère des Désirs,
accorde à une belette
éprise d'un homme bien-fait
de changer *sa* forme
et de prendre *la forme* féminine
d'une belle femme,
que, *la* possédant,
qui ne *l'*eût (que chacun eût) aimée ?
Celui-ci (l'homme) *l'*ayant vue,
allait *l'*épouser :
car à *son* tour il *en* fut épris.

παρέδραμεν μῦς. Ἡ δὲ[3] τῆς βαθυστρώτου
καταβᾶσα κλίνης ἐπεδίωκεν ἡ νύμφη.
Γάμου δὲ δαιτὴ λέλυτο· καὶ καλῶς παίξας[4]
Ἔρως ἀπῆλθε. Τῇ φύσει γὰρ ἡττήθη.

repas des noces servi, une souris traverse la salle. La fiancée quitte ses coussins moelleux et la poursuit : aussitôt le festin nuptial est interrompu. L'Amour avait plaisanté avec grâce ; il partit, vaincu par le naturel.

ΛΓ'. ΓΕΩΡΓΟΣ ΚΑΙ ΨΑΡΕΣ.

Δυσμαὶ μὲν ἦσαν Πλειάδων, σπόρου δ' ὥρη·
καί τις γεωργὸς πυρὸν εἰς νεὸν ῥίψας,
ἐφύλασσεν ἑστώς. Καὶ γὰρ ἄκριτον πλήθει
μέλαν κολοιῶν ἔθνος ἦλθε δυσφώνων,
ψᾶρές τ', ὄλεθρος σπερμάτων ἀρουραίων.
Τῷ δ' ἠκολούθει σφενδόνην ἔχων κοίλην
παιδίσκος. Οἱ δὲ ψᾶρες ἐκ συνηθείης[1]
ἤκουον εἰ τὴν σφενδόνην ποτ' ἠτήκει,
καὶ πρὶν λαβεῖν ἔφευγον. Εὗρε δὴ τέχνην
ὁ γεωργὸς ἄλλην, τόν τε παῖδα φωνήσας
ἐδίδασκεν· « Ὦ παῖ· χρὴ γὰρ ὀρνέων ἡμᾶς

33. LE LABOUREUR ET LES ÉTOURNEAUX.

Les Pléiades se couchaient; c'était le temps des semailles. Un laboureur venait de jeter le grain dans ses sillons, et restait pour le garder. Survinrent des geais au noir plumage, troupe innombrable et criarde, et avec eux des étourneaux, fléau des semences. Un jeune enfant suivait le laboureur, une fronde à la main. Les étourneaux écoutaient, et lorsque notre homme, sans autre malice, demandait sa fronde, ils fuyaient avant qu'il l'eût prise. Le laboureur imagina une autre finesse, et fit la leçon à l'enfant. « Mon ami, lui dit-il, avec cette race rusée il faut user de ruse. Lorsqu'ils viendront, je te demande-

Τοῦ δὲ δείπνου ἠρμένου
μῦς παρέδραμε.
Ἡ δέ, ἡ νύμφη,
καταβᾶσα κλίνης βαθυστρώτου,
ἐπεδίωκε.
Δαιτὴ δὲ γάμου λέλυτο·
καὶ Ἔρως,
παίξας καλῶς,
ἀπῆλθεν·
ἡττήθη γὰρ τῇ φύσει.

Et le repas *nuptial* étant servi,
une souris passa-en-courant.
Celle-ci, la fiancée,
étant descendue du divan moelleux,
la poursuivait.
Et le festin des noces fut dissous;
et l'Amour,
après avoir plaisanté agréablement,
partit :
car il fut vaincu par le naturel.

ΛΓ'. ΓΕΩΡΓΟΣ ΚΑΙ Ψ'ΑΡΕΣ.

Ἦσαν μὲν δυσμαὶ Πλειάδων,
ὥρη δὲ σπόρου.
Καί τις γεωργὸς
ῥίψας πυρὸν εἰς νεόν,
ἐφύλασσεν ἑστώς·
καὶ γὰρ ἔθνος μέλαν κολοιῶν
δυσφώνων
ἄκριτον
πλήθει,
ἦλθε, ψᾶρές τε,
ὄλεθρος σπερμάτων ἀρουραίων.
Τῷ δὲ ἠκολούθει παιδίσκος,
ἔχων σφενδόνην κοίλην.
Οἱ δὲ ψᾶρες ἤκουον,
εἴ ποτε ἐκ συνηθείης
ἠτήκει τὴν σφενδόνην,
καὶ ἔφευγον
πρὶν λαβεῖν.
Ὁ γεωργὸς εὗρε δὴ
ἄλλην τέχνην,
ἐδίδασκέ τε τὸν παῖδα
φωνήσας·
« Ὦ παῖ·
χρὴ γὰρ
ἡμᾶς δολῶσαι

33. LE LABOUREUR ET LES ÉTOURNEAUX.

C'était le coucher des Pléiades,
et la saison des semences.
Et certain laboureur
ayant jeté le froment dans le sillon,
le gardait se-tenant *auprès :*
car une troupe noire de geais
à-la-voix-criarde,
troupe innombrable
par *sa* multitude,
survint, et des étourneaux,
fléau des semences des-champs.
Et un garçon le suivait,
tenant une fronde creuse.
Et les étourneaux écoutaient,
quand parfois, selon *sa* coutume,
il demandait la fronde,
et ils s'enfuyaient
avant qu'*il* ne *l'*eût prise.
Le laboureur trouva alors
une autre ruse,
et il instruisait l'enfant
lui ayant-adressé-la-parole :
« O *mon* enfant :
car il faut
que nous trompions-par-la-ruse

σοφὸν δολῶσαι φῦλον. Ἡνίχ' ἂν τοίνυν
ἔλθωσ', ἐγὼ μέν, » εἶπεν, « ἄρτον αἰτήσω·
σὺ δ' οὐ τὸν ἄρτον, σφενδόνην δέ μοι δώσεις. »
Οἱ ψᾶρες ἦλθον, κἀνέμοντο τὴν χώρην.
Ὁ δ' ἄρτον ᾔτει, καθάπερ εἶχε συνθήκη·
οἱ δ' οὐκ ἔφευγον. Τῷ δ' ὁ παῖς λίθων πλήρη
τὴν σφενδόνην ἔδωκεν· ὁ δὲ γέρων ῥίψας
τοῦ μὲν τὸ βρέγμα, τοῦ δ' ἔτυψε τὴν κνήμην,
ἑτέρου τὸν ὦμον. Οἱ δ' ἔφευγον ἐκ χώρης.
Γέρανοι συνήντων, καὶ τὸ συμβὰν ἠρώτων.
Καί τις κολοιῶν εἶπε· « Φεύγετ' ἀνθρώπων
γένος πονηρόν, ἄλλα μὲν πρὸς ἀλλήλους
λαλεῖν μαθόντων, ἄλλα δ' ἔργα ποιούντων. »
[Δεινὸν τὸ φῦλον τῶν δόλῳ τι πραττόντων.]

rai du pain; toi, au lieu de pain, tu me donneras la fronde. » Les étourneaux revinrent, et ils saccageaient le champ. L'homme demanda du pain, comme il en était convenu; les étourneaux ne fuyaient pas. L'enfant lui donna la fronde pleine de pierres; le vieillard les lança et attrapa qui à la tête, qui à l'épaule, qui à la patte. Ils prirent aussitôt la fuite. Des grues qui les rencontrèrent leur demandèrent ce qui était arrivé. Un geai leur dit : « Fuyez les hommes, fuyez cette race scélérate; ils savent parler entre eux d'une façon et agir de l'autre. »
Les gens rusés sont une dangereuse espèce.

ΛΔ'. ΠΑΙΣ ΕΣΘΙΩΝ ΣΠΛΑΓΧΝΑ.

Δήμητρι ταῦρον ὄχλος ἀγρότης θύων,
ἄλω πλατεῖαν οἰνάσιν[1] κατεστρώκει.

34. L'ENFANT GLOUTON.

Une troupe de villageois sacrifiait un taureau à Cérès : une vaste grange avait été jonchée de pampres; on y avait disposé des tables

φῦλον σοφὸν ὀρνέων.
Ἡνίκα ἂν τοίνυν, εἶπεν, ἔλθωσιν,
ἐγὼ μὲν
αἰτήσω ἄρτον,
σὺ δέ μοι δώσεις
οὐ τὸν ἄρτον, σφενδόνην δέ. »
Οἱ ψᾶρες ἦλθον,
καὶ ἐνέμοντο τὴν χώρην.
Ὁ δὲ ἤτει ἄρτον,
καθάπερ συνθήκη εἶχεν·
οἱ δὲ οὐκ ἔφευγον.
Τῷ δὲ ὁ παῖς ἔδωκε τὴν σφενδόνην
πλήρη λίθων·
ὁ δὲ γέρων ῥίψας,
ἔτυψε τοῦ μὲν
τὸ βρέγμα,
τοῦ δὲ τὴν κνήμην,
ἑτέρου τὸν ὦμον.
Οἱ δὲ ἔφευγον ἐκ χώρης.
Γέρανοι συνήντων,
καὶ ἠρώτων
τὸ συμβάν.
Καί τις κολοιῶν εἶπε·
« Φεύγετε πονηρὸν γένος
ἀνθρώπων μαθόντων
λαλεῖν ἄλλα μὲν πρὸς ἀλλήλους,
ποιούντων δὲ ἄλλα ἔργα. »
[Τὸ φῦλον
τῶν πραττόντων τι
δόλῳ, δεινόν.]

la race rusée des oiseaux.
Lorsque donc, dit-il, ils viendront,
moi d'un côté
je demanderai du pain,
toi, d'un autre, tu me donneras
non le pain, mais la fronde. »
Les étourneaux arrivèrent,
et dévastaient le champ.
Et celui-ci demandait du pain,
comme la convention était :
et eux ne fuyaient pas.
Mais l'enfant lui donna la fronde
remplie de pierres :
et le vieillard *l'*ayant lancée,
frappa de l'un *des oiseaux*
le haut-de-la-tête,
de l'autre la patte,
d'un autre l'épaule.
Et ceux-ci fuyaient du champ.
Des grues *les* rencontraient,
et s'informaient
de ce qui-était-arrivé.
Et un des geais dit :
« Fuyez la méchante race
des hommes, qui ont appris
à dire d'autres choses l'un-à-l'autre,
et qui font d'autres actions. »
[La race
de ceux qui font quelque chose
par ruse, *est* dangereuse.]

ΛΔ'. ΠΑΙΣ ΕΣΘΙΩΝ ΣΠΛΑΓΧΝΑ.

Ὄχλος ἀγρότης
θύων Δήμητρι ταῦρον,
κατεστρώκει οἰνάσι
πλατεῖαν ἄλω.
Εἶχε τραπέζας κρεῶν,

34. L'ENFANT MANGEANT DES BOYAUX.

Une troupe campagnarde,
sacrifiant à Cérès un taureau,
avait parsemé de pampres
une vaste aire. [viandes
Elle avait des tables *chargées* de

Κρεῶν τραπέζας εἶχε, καὶ πίθους οἴνου.
Ἐκ τῶν δὲ παίδων ἐσθίων τις ἀπλήστως
ὑπὸ τῶν βοείων ἐγκάτων ἐφυσήθη,
κἀπῆλθ' ἐς οἴκους, γαστρὸς ὄγκον ἀλγήσας[2].
Πεσὼν δ' ἐφ'[3] ὑγραῖς μητρὸς ἀγκάλαις, « Οἴμοι
τί ταῦτ' ; » ἐφώνει· « δυστυχὴς ἀποθνήσκω·
τὰ σπλάγχνα γάρ, τεκοῦσα, πάντα μοὐκπίπτει[4]. »
Ἡ δ' εἶπε· « Θάρσει, κἀπόβαλλε· μὴ φείδου·
οὐ γὰρ σά, τέκνον, ἀλλ' ἐμεῖς τὰ τοῦ ταύρου. »
[Ὅταν ὀρφανοῦ τις οὐσίην ἀναλώσας,
ἔπειτα ταύτην ἐκτίνων[5] ἀποιμώζῃ,
πρὸς τοῦτον ἄν τις καταχρέοιτο τῷ μύθῳ.]

chargées de viandes et des tonneaux pleins de vin. Un enfant, qui avait mangé outre mesure, s'en revint le ventre gonflé des entrailles de la victime, et en proie à de vives douleurs. Il se jeta dans les bras caressants de sa mère : « Hélas! s'écriait-il, qu'est ceci? malheureux, je me meurs. Bonne mère, je rends toutes mes entrailles. — Courage, répondit la mère, ne crains rien, débarrasse-toi, ce ne sont pas tes entrailles, mais celles du taureau. »

Quand ceux qui ont dévoré les biens de l'orphelin se plaignent des restitutions qu'on leur demande, appliquez-leur cette fable.

ΛΕ'. ΠΙΘΗΚΟΙ.

Δύω μὲν υἱοὺς ἡ πίθηκος ὠδίνει·
τεκοῦσα δ' αὐτοῖς ἐστιν οὐχ ἴση μήτηρ·
ἀλλ' ὃν μὲν αὐτῶν ἀθλίης ὑπ' εὐνοίης
θάλπουσα κόλποις ἀγρίοις ἀποπνίγει,
τὸν δ' ὡς περισσὸν καὶ μάταιον ἐκβάλλει.

35. LES SINGES.

La guenon porte deux petits; mais une fois qu'ils sont nés, elle n'a pas pour eux une égale tendresse : cruelle dans son amour, elle étouffe l'un à force de caresses; l'autre lui est indifférent, elle le rejette;

καὶ πίθους οἴνου.
Ἐκ τῶν δὲ παίδων
ἐσθίων τις ἀπλήστως,
ἐφυσήθη
ὑπὸ ἐγκάτων τῶν βοείων,
καὶ ἀπῆλθεν ἐς οἴκους,
ἀλγήσας ὄγκον
γαστρός.
Πεσὼν δὲ
ἐπὶ ὑγραῖς ἀγκάλαις
μητρός, ἐφώνει·
« Οἴμοι· τί ταῦτα;
δυστυχὴς ἀποθνήσκω·
πάντα γὰρ τὰ σπλάγχνα,
τεκοῦσα, ἐκπίπτει μοι. »
Ἡ δὲ εἶπε·
« Θάρσει, καὶ ἀπόβαλλε·
μὴ φείδου·
ἐμεῖς γὰρ, τέκνον,
οὐ σὰ,
ἀλλὰ τὰ τοῦ ταύρου. »
[Ὅταν τις
ἀναλώσας οὐσίην ὀρφανοῦ,
ἔπειτα ἀποιμώζῃ
ἐκτίνων ταύτην,
πρὸς τοῦτόν τις
καταχρέοιτο ἂν τῷ μύθῳ.]

et des tonneaux de vin.
Or parmi les enfants
un, mangeant insatiablement,
fut gonflé
par les boyaux de-bœuf,
et il partit à la maison,
souffrant du gonflement
de *son* ventre.
Et étant tombé (s'étant jeté)
dans les tendres bras
de *sa* mère, il s'écriait :
« Hélas! qu'*est* ceci?
malheureux je-me-meurs!
car toutes les entrailles,
mère, m'échappent. »
Mais celle-ci répondit :
« Prends-courage, et rejette-*les* :
ne te-ménage pas!
en effet, tu vomis, *mon* enfant,
non les tiennes,
mais celles du taureau. »
[Lorsque quelqu'un
ayant dévoré les biens d'un orphelin,
se plaint ensuite
quand il paye ceux-ci *dévorés*,
contre celui-ci quelqu'un
se servira-bien de cette fable.]

ΛΕ'. ΠΙΘΗΚΟΙ.

Ἡ πίθηκος μὲν ὠδίνει δύω υἱούς·
τεκοῦσα δὲ
οὐκ ἔστιν αὐτοῖς
ἴση μήτηρ·
ἀλλὰ ὑπὸ ἀθλίης εὐνοίης,
ἀποπνίγει ὃν μὲν αὐτῶν θάλπουσα
κόλποις ἀγρίοις,
τὸν δὲ ἀποβάλλει
ὡς περισσὸν καὶ μάταιον.

35. LES SINGES.

La guenon enfante deux petits;
mais *les* ayant mis-bas
elle n'est pas pour eux
une égale mère;
mais par une malheureuse tendresse,
elle étouffe l'un d'eux en *le* caressant
sur son sein cruel,
et l'autre elle *le* rejette
comme superflu et inutile.

Κἀκεῖνος[1] ἐλθὼν εἰς ἐρημίην ζῴει.
Τοιοῦτο πολλῶν ἐστιν ἦθος ἀνθρώπων,
οἷς ἐχθρὸς αἰεὶ μᾶλλον ἢ φίλος γίνου.

il va dans la solitude des bois, et il y vit.

Ainsi en usent bien des hommes; mieux vaut les avoir pour ennemis que pour amis.

ΛΣ'. ΦΗΓΟΣ ΚΑΙ ΚΑΛΑΜΟΣ.

Δρῦν αὐτόριζον ἄνεμος ἐξ ὄρους ἄρας
ἔδωκε ποταμῷ· τὴν δ' ἔσυρε κυμαίνων,
πελώριον φύτευμα τῶν πρὶν ἀνθρώπων.
Πολὺς δὲ κάλαμος ἑκατέρωθεν εἱστήκει
ἐλαφρὸν[1] ὄχθης ποταμίας ὕδωρ πίνων.
Θάμβος δὲ τὴν δρῦν εἶχε, πῶς ὁ μὲν λίην
λεπτός τις ὢν καὶ βληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δὲ τόσση φηγὸς[2] ἐξεριζώθη.
Σοφῶς δὲ κάλαμος εἶπε· « Μηδὲν ἐκπλήσσου·
σὺ μὲν μαχομένη ταῖς πνοαῖς ἐνικήθης,
ἡμεῖς δὲ καμπτόμεσθα μαλθακῇ[3] γνώμῃ,
κἂν βαιὸν ἡμῶν ἄνεμος ἄκρα κινήσῃ. »
Κάλαμος μὲν οὕτως. Ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι τοῖς κρατοῦσιν, ἀλλ' εἴκειν.

36. LE CHÊNE ET LE ROSEAU.

Le vent déracina un chêne de la montagne, et l'abandonna au courant d'un fleuve; les flots agités emportaient ce gigantesque tronc contemporain des anciens hommes. Sur les deux rives, de nombreux roseaux buvaient l'onde limpide. Le chêne s'étonnait qu'une plante si délicate et si frêle ne fût pas tombée, tandis que lui, arbre superbe, avait été arraché. Un roseau lui dit fort sagement : « Pourquoi cette surprise? Tu as lutté contre le vent, et tu as succombé; plus modestes, nous plions au moindre souffle qui vient agiter nos têtes. »

Ainsi parla le roseau. Cette fable nous apprend qu'il vaut mieux céder aux puissants que leur résister.

Καὶ ἐκεῖνος,
ἐλθὼν εἰς ἐρημίην, ζώει.
Τοιοῦτό ἐστιν ἦθος
πολλῶν ἀνθρώπων,
οἷς γίνου αἰεὶ
μᾶλλον ἐχθρὸς ἢ φίλος.

Et celui-ci,
étant parti pour le désert, vit.
Telles sont les mœurs
de bien des hommes;
auxquels sois toujours
plutôt ennemi qu'ami.

ΛϚ'. ΦΗΓΟΣ ΚΑΙ ΚΑΛΑΜΟΣ.

Ἄνεμος ἄρας ἐξ ὄρους
δρῦν αὐτόριζον
ἔδωκε ποταμῷ·
τὴν δὲ κυμαίνων
ἔσυρε,
πελώριον φύτευμα
τῶν πρὶν ἀνθρώπων.
Κάλαμος δὲ πολὺς
εἱστήκει ἑκατέρωθεν
πίνων ὕδωρ ἐλαφρὸν
ὄχθης ποταμίης.
Θάμβος δὲ εἶχε τὴν δρῦν,
πῶς ὁ μὲν
ὢν τις λίην λεπτὸς
καὶ ἀβληχρὸς οὐκ ἐπεπτώκει,
αὐτὴ δέ,
τόσση φηγός,
ἐξεριζώθη.
Κάλαμος δὲ εἶπε σοφῶς·
« Ἐκπλήσσου μηδέν·
σὺ μὲν ἐνικήθης
μαχομένη ταῖς πνοαῖς,
ἡμεῖς δὲ καμπτόμεσθα
γνώμῃ μαλθακῇ,
καὶ ἐὰν βαιὸν ἄνεμος κινήσῃ
ἄκρα ἡμῶν. »
Οὕτως μὲν κάλαμος.
Ὁ δέ γε μῦθος ἐμφαίνει
μὴ δεῖν μάχεσθαι
τοῖς κρατοῦσιν, ἀλλὰ εἴκειν.

36. LE CHÊNE ET LE ROSEAU.

Le vent ayant enlevé d'une montagne
un chêne avec-ses-racines-mêmes,
le livra au fleuve :
et *le fleuve* agitant-ses-flots
entraînait celui-ci,
puissant arbre
des hommes (générations) de-jadis.
Et le roseau en-grand-nombre [*ve*,
était-debout des-deux-côtés *du fleu-*
buvant l'onde légère (fugitive)
du rivage fluvial.
Et l'étonnement tenait le chêne,
comment celui-ci (le roseau)
étant un *être* bien faible
et *bien* frêle, n'était pas tombé,
et que (tandis que) lui-même,
si-puissant chêne,
avait été déraciné.
Mais le roseau *lui* dit sagement :
« Ne t'*en* étonne nullement;
toi tu fus vaincu
en luttant contre les vents,
mais nous nous courbons
avec un esprit souple,
quand faiblement même le vent agite
les sommités (les têtes) de nous. »
Ainsi *parla* le roseau.
Or la fable démontre
qu'il ne faut pas combattre
les puissants, mais *leur* céder.

ΛΖ'. ΔΑΜΑΛΙΣ ΚΑΙ ΤΑΥΡΟΣ.

Δάμαλις ἐν ἀγροῖς, ἄφετος, ἀτριβὴς ζεύγλης,
χάμνοντι καὶ σύροντι τὴν ὕνιν ταύρῳ,
« Τάλας, » ἐφώνει, « μόχθον οἷον ὀτλεύεις. »
Ὁ βοῦς δ' ἐσίγα χὑπέτεμνε τὴν χώρην.
Ἐπεὶ δ' ἔμελλον ἀγρόται θεοῖς θύειν,
ὁ βοῦς μὲν ὁ γέρων εἰς νομὰς ἀπεζεύχθη,
ὁ δὲ μόσχος ἁδμὴς κεῖνος εἵλκετο, σχοίνῳ
δεθεὶς κέρατα, βωμὸν αἵματος πλήσων.
Κἀκεῖνος αὐτῷ τοιάδ' εἶπε φωνήσας·
« Εἰς ταῦτα μέντοι μὴ πονῶν ἐτηρήθης·
ὁ νέος παρέρπεις τὸν γέροντα, καὶ θύῃ,
καί σου τένοντα πέλεκυς, οὐ ζυγὸς τρίψει. »

37. LE VEAU ET LE BOEUF.

Un veau, encore vierge du joug, errait en liberté dans les champs; il vit un bœuf qui traînait péniblement la charrue : « Infortuné, lui dit-il, que de mal tu te donnes! » Celui-ci, sans rien dire, poursuivit son sillon. A quelque temps de là, les villageois allaient faire un sacrifice; on détacha le vieux serviteur, et on l'envoya au pâturage; mais le veau, jusque là si ménagé, fut traîné, les cornes entourées de jonc, à l'autel qu'il allait arroser de son sang. Le bœuf lui dit alors : « Voilà pourquoi on t'épargnait les fatigues; jeune, tu devances le vieillard, et tu es immolé; ton cou n'a pas senti le joug, il sentira la hache. »

ΛΗ'. ΠΕΥΚΗ.

Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην,
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη,
γένοιτό τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥᾴων.

38. LE PIN.

Des bûcherons fendaient un pin dans la forêt; ils y enfoncèrent des coins pour le tenir entr'ouvert et rendre la besogne plus facile.

ΛΖ′. ΔΑΜΑΛΙΣ ΚΑΙ ΤΑΥΡΟΣ.

Δάμαλις ἐν ἀγροῖς,
ἄφετος,
ἀτριβὴς ζεύγλης,
ἐφώνει ταύρῳ
κάμνοντι καὶ σύροντι τὴν ὕνιν·
« Τάλας,
οἷον μόχθον ὀτλεύεις. »
Ὁ δὲ βοῦς ἐσίγα,
καὶ ὑπέτεμνε τὴν χώρην.
Ἐπεὶ δὲ ἀγρόται
ἔμελλον θύειν θεοῖς,
ὁ μὲν γέρων βοῦς
ἀπεζεύχθη εἰς νομάς·
ὁ δὲ μόσχος κεῖνος
ὁ ἀδμής,
εἵλκετο
δεθεὶς κέρατα σχοίνῳ,
πλήσων
βωμὸν αἵματος.
Καὶ ἐκεῖνος
φωνήσας
εἶπεν αὐτῷ τοιάδε·
« Εἰς ταῦτα μέντοι
ἐτηρήθης μὴ πονῶν·
ὁ νέος
παρέρπεις τὸν γέροντα,
καὶ θύῃ,
καὶ πέλεκυς, οὐ ζυγός,
τρίψει τὸν τένοντά σου. »

37. LE VEAU ET LE TAUREAU.

Un veau dans les champs,
libre,
non-frotté (encore vierge) du joug,
disait à un taureau
qui se fatiguait et traînait le soc :
« Malheureux,
quelle fatigue tu endures ! »
Mais le bœuf se-taisait,
et sillonnait le champ.
Or lorsque les villageois
devaient faire-un-sacrifice aux dieux,
le vieux bœuf
fut délié *et envoyé* dans les pâturages;
et ce veau-là,
encore-insoumis-au-joug,
fut traîné,
attaché par les cornes avec un jonc,
devant remplir (arroser)
l'autel de *son* sang.
Et l'autre (le bœuf)
lui adressant-la-parole,
dit à lui de telles-choses :
« Pour cela donc
tu fus réservé ne travaillant pas :
jeune
tu as-le-pas-sur le vieillard,
et tu es immolé,
et la hache, non le joug,
frottera le tendon-de-nuque de toi. »

ΛΗ′. ΠΕΥΚΗ.

Δρυτόμοι τινὲς
σχίσαντες
πεύκην ἀγρίην,
αὐτῇ ἐνεῖραν σφῆνας,
ὡς διασταίη,
ὅ τε πόνος αὐτοῖς γένοιτο

38. LE PIN.

Certains bûcherons
fendant
un pin sauvage (de-la-forêt),
lui enfoncèrent des coins,
afin qu'il s'entr'ouvrît,
et que la besogne leur fût

Πεύκη στένουσα, « Πῶς ἄν, » εἶπε, « μεμφοίμην
τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε[1] τῇ ῥίζῃ,
ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαῤῥήσσει. »
[Ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινὸν ἂν πρὸς ἀνθρώπων
πάθοις τι τῶν ἔξωθεν, ὡς ὑπ' οἰκείων.]

L'arbre gémit et dit : « Qu'ai-je à reprocher à la hache? Elle n'est pour moi qu'une étrangère ; mais j'ai nourri de mes sucs ces méchants coins, qui, à l'envi me pénètrent et me déchirent. »

Cette fable nous montre que les outrages nous sont bien moins sensibles venant des étrangers que de nos proches.

ΛΘ'. ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.

Δελφῖνες αἰεὶ διεφέροντο φαλαίναις.
Τούτοις παρῆλθε[1] καρκίνος μεσιτεύων·
ὡς εἴ τις ὢν ἄδοξος ἐν πολιτείαις
στάσιν τυράννων μαχομένων εἰρηνεύοι.

39. LES DAUPHINS ET LE CANCRE.

Les dauphins étaient en démêlés perpétuels avec les baleines. Un cancre se porta médiateur. On dirait d'un citoyen obscur de l'État qui prétendrait terminer la discorde et les querelles des grands.

M'. ΚΑΜΗΛΟΣ.

Διέβαινε ποταμὸν ὀξὺν ὄντα τῷ ῥείθρῳ
κυρτὴ κάμηλος, εἶτ' ἔχεζε. Τοῦ δ' ὄνθου

40. LE CHAMEAU.

Un chameau bossu traversait un fleuve rapide ; il y fienta, et comme le courant emportait les crottins en avant, il dit : « Me voilà bien! ce

ὕστερον ῥᾴων.
Πεύκη στένουσα εἶπε·
« Πῶς ἂν μεμφοίμην
τὸν πέλεκυν,
ὃς μὴ προσῆκε
τῇ ῥίζῃ μου,
ὡς τοὺς σφῆνας τοὺς κακίστους,
ὧν ἐγὼ μήτηρ;
ἐμπεσὼν γὰρ
ἄλλος ἄλλῃ,
διαῤῥήσσει με. »
[Ὁ μῦθος μηνύει ἡμῖν
πᾶσι τοῦτο,
ὡς πάθοις ἂν
οὐδέν τι οὕτω δεινὸν
πρὸς ἀνθρώπων
τῶν ἔξωθεν,
ὡς ὑπὸ οἰκείων.]

ensuite plus facile.
Le pin gémissant *leur* dit :
« Comment blâmerais-je
la hache,
qui n'appartenait pas
à ma souche,
comme les coins les plus ingrats,
desquels moi *je suis* la mère?
en effet, s'étant enfoncés
l'un ici, l'autre là,
ils me déchirent (me font éclater). »
[Cette fable indique à nous
à tous cela, *savoir*,
que tu ne saurais-souffrir
rien d'aussi affreux
des personnes
du dehors (étrangères),
comme de *tes* proches.]

ΛΘ'. ΔΕΛΦΙΝΕΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ.

Δελφῖνες αἰεὶ
διεφέροντο φαλαίναις.
Τούτοις παρῆλθε
καρκίνος μεσιτεύων·
ὡς εἴ τις, ὢν ἄδοξος,
εἰρηνεύοι ἐν πολιτείαις
στάσιν τυράννων
μαχομένων.

39. LES DAUPHINS ET LE CANCRE.

Les dauphins toujours
étaient-en-différend avec les baleines.
A eux se présenta
un cancre faisant-le-médiateur :
comme si quelqu'un, étant obscur,
voulait apaiser dans des États
la discorde de tyrans
qui-se-combattent.

Μ'. ΚΑΜΗΛΟΣ.

Κάμηλος κυρτὴ
διέβαινε ποταμὸν
ὄντα ὀξὺν τῷ ῥείθρῳ,
εἶτα ἔχεζε.
Τοῦ δὲ ὄνθου αὐτὴν φθάνοντος,

40. LE CHAMEAU.

Un chameau courbé (bossu)
traversait un fleuve
qui était rapide par son courant,
puis il *y* fientait.
Et le crottin le dépassant,

φθάνοντος αὐτήν, εἶπεν· « Ἦ κακῶς πράττω·
ἔμπροσθεν ἤδη τἀξόπισθε μου βαίνει. »
[Πόλις ἄν τις εἴποι τὸν λόγον τὸν Αἰσώπου,
ἧς ἔσχατοι κρατοῦσιν ἀντὶ τῶν πρώτων.]

qui tantôt était derrière moi passe maintenant devant. »
Certaines villes où les derniers citoyens gouvernent et ont le pas sur les plus dignes, pourraient s'appliquer cette fable d'Ésope.

ΜΓ'. ΣΑΥΡΑ.

Διαῤῥαγῆναί φασιν ἐκ μέσου νώτου
δράκοντι μῆκος ἐξισουμένην[1] σαύραν.
Βλάψεις σεαυτόν, κοὐδὲν ἄλλο ποιήσεις,
ἂν τόν γε λίαν ὑπερέχοντα μιμήσῃ.

41. LE LÉZARD.

On raconte qu'un lézard, qui voulait égaler un serpent en grosseur, se fit crever en deux.
Tu te perdras toujours en cherchant à imiter celui qui te surpasse de si loin.

ΜΒ'. ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Δεῖπνόν τις εἶχε λαμπρὸν ἐν πόλει θύσας.
Ὁ κύων δὲ τούτου κυνὶ φίλῳ συναντήσας,
ἐλθεῖν πρὸς αὐτὸν ἐπὶ τὸ δεῖπνον ἠρώτα.
Κἀκεῖνος ἦλθε. Τὸν δὲ τοῦ σκέλους ἄρας
ὁ μάγειρος ἐκτὸς ἐξέριψε τοῦ τοίχου
εἰς τὴν ἀγυιάν. Τῶν κυνῶν δ' ἐρωτώντων

42. LE CHIEN ET LE CUISINIER.

Un citadin qui venait de faire un sacrifice donna un grand festin. Son chien, rencontrant un autre chien de ses amis, le pria à dîner; celui-ci y alla. Mais le cuisinier le prit par les deux pattes et le jeta dans la rue. Ses camarades lui demandaient comment il avait dîné :

εἶπεν·
« Ἢ πράττω κακῶς·
τὰ ἐξόπισθέ μου
βαίνει ἤδη ἔμπροσθεν. »
[Πόλις τις εἴποι ἂν
τὸν λόγον τὸν Αἰσώπου,
ἧς κρατοῦσιν
ἔσχατοι
ἀντὶ τῶν πρώτων.]

il dit :
« Certes ça va mal pour moi !
ce qui était derrière moi,
va maintenant devant. »
[Certaine ville pourrait dire
cette fable d'Ésope,
ville sur laquelle règnent
les derniers *citoyens*
au-lieu des premiers.]

ΜΙ'. ΣΑΥΡΑ.

Φασὶ σαύραν,
ἐξισουμένην μῆκος
δράκοντι,
διαῤῥαγῆναι ἐκ μέσου νώτου.
Βλάψεις σεαυτόν,
καὶ ποιήσεις
οὐδὲν ἄλλο,
ἂν μιμήσῃ
τόν γε ὑπερέχοντα λίην.

41. LE LÉZARD.

On raconte qu'un lézard,
voulant-se-rendre-égal en-grandeur
à un serpent,
creva par le milieu du dos.
Tu *te* nuiras à-toi-même,
et tu n'effectueras (tu ne gagneras)
rien autre-chose,
si tu veux-imiter
celui qui te surpasse de-beaucoup.

ΜΒ'. ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Ἐν πόλει τις
θύσας,
εἶχε δεῖπνον λαμπρόν.
Ὁ κύων δὲ τούτου,
συναντήσας κυνὶ φίλῳ,
ἠρώτα ἐλθεῖν πρὸς αὐτὸν
ἐπὶ τὸ δεῖπνον.
Καὶ ἐκεῖνος ἦλθε.
Τὸν δὲ ὁ μάγειρος ἄρας
τοῦ σκέλους,
ἐξέριψεν ἐκτὸς τοῦ τοίχου
εἰς τὴν ἀγυιάν.
Τῶν κυνῶν δὲ ἐρωτώντων
ὅπως ἐδείπνησεν, εἶπε·

42. LE CHIEN ET LE CUISINIER.

Quelqu'un dans une ville
ayant fait-un-sacrifice,
tint *chez lui* un festin splendide.
Or le chien de celui-ci,
ayant rencontré un chien *son* ami,
le priait de venir chez lui
au festin.
Et l'autre vint.
Mais le cuisinier ayant soulevé celui-ci
par la jambe,
le jeta hors du mur (de la maison)
dans la rue.
Et les chiens *lui* demandant
comment il avait dîné, il répondit :

ὅπως ἐδείπνησ', εἶπε· « Πῶς γὰρ ἂν κρεῖσσον[1],
ὃς οὐδὲ ποίαν ἀναλύειν με γινώσκω; »

« On ne peut mieux, dit-il; je ne sais seulement pas par quel chemin je suis revenu. »

ΜΓ'. ΕΛΑΦΟΣ ΚΑΙ ΚΥΝΗΓΕΤΑΙ.

Ἔλαφος κεράστης ὑπὸ τὸ καῦμα[1] διψήσας
λίμνης ὕδωρ ἔπινεν ἡσυχαζούσης.
Ἐκεῖ δ' ἑαυτοῦ τὴν σκιὴν θεωρήσας,
χηλῆς μὲν ἕνεκα καὶ ποδῶν ἐλυπήθη,
ἐπὶ τοῖς δὲ κέρασιν ὡς καλοῖς ἄγαν ηὔχει.
Παρῆν δὲ Νέμεσις, ἡ τὰ γαῦρα πημαίνει.
Κυνηγέτας γὰρ ἄνδρας εἶδεν ἐξαίφνης
δμοῦ[2] σαγήναις καὶ σκύλαξιν εὐρίνοις·
ἰδὼν δ' ἔφευγε, δίψαν οὐδέπω παύσας,
καὶ μακρὸν ἐπέρα πεδίον ἴχνεσιν κούφοις.
Ἐπεὶ δὲ δὴ σύνδενδρον ἦλθεν εἰς ὕλην
κέρατα θάμνοις ἐμπλακεὶς ἐθηρεύθη.
Καὶ ταῦτ' ἔφη· « Δύστηνος, ὡς διεψεύσθην·
οἱ γὰρ πόδες μ' ἔσωζον, οἷς ἐπῃδούμην·

43. LE CERF ET LES CHASSEURS.

Un cerf de haute ramure, pressé par la soif, se désaltérait pendant le chaud du jour dans l'eau d'un étang tranquille; il y vit son image, et il eut honte de ses jambes et de ses pieds; mais il louait fort la beauté de son bois. Cependant Némésis, qui punit l'orgueil, n'était pas loin. Tout à coup il entend des chasseurs qui accouraient avec leurs toiles et leurs fins limiers; à leur vue, il s'enfuit, avant même d'avoir étanché sa soif, et, d'un pied léger, s'élance dans une vaste plaine. Au bout de sa course, il entre dans un bois épais, mais ses cornes s'embarrassent dans le taillis; on le prit sans peine. Alors il s'écria : « Hélas! comme je me suis trompé! mes pieds, que je mé-

« Πῶς γὰρ ἂν
χρεῖσσον,
ὃς οὐδὲ γινώσκω
ποίαν ἀναλύειν με ; »

« Comment donc *aurais-je-pu-dîner*
mieux,
moi qui ne sais même pas
par quel *chemin* je suis parti ? »

ΜΓ'. ΕΛΑΦΟΣ ΚΑΙ ΚΥΝΗΓΕΤΑΙ.

'Ελαφος κεράστης
διψήσας
ὑπὸ τὸ καῦμα,
ἔπινεν ὕδωρ
λίμνης ἡσυχαζούσης.
'Εκεῖ δὲ θεωρήσας
τὴν σκιὴν ἑαυτοῦ, ἐλυπήθη
ἕνεκα χηλῆς
καὶ ποδῶν,
ηὔχει δὲ
ἐπὶ τοῖς κέρασιν
ὡς ἄγαν καλοῖς.
Παρῆν δὲ Νέμεσις,
ἣ πημαίνει τὰ γαῦρα.
Εἶδε γὰρ ἐξαίφνης
ἄνδρας κυνηγέτας
ὁμοῦ σαγήναις
καὶ σκύλαξιν εὐρίνοις·
ἰδὼν δὲ ἔφευγεν,
οὐδέπω παύσας δίψαν,
καὶ ἐπέρα
ἴχνεσι κούφοις
μακρὸν πεδίον.
'Επεὶ δὲ δὴ ἦλθεν
εἰς ὕλην σύνδενδρον,
ἐθηρεύθη, ἐμπλακεὶς
θάμνοις κέρατα.
Καὶ ἔφη ταῦτα·
« Δύστηνος,
ὡς διεψεύσθην·
οἱ γὰρ πόδες, οἷς ἐπηδούμην,

43. LE CERF ET LES CHASSEURS.

Un cerf au-bois-entier
ayant-eu-soif
vers la grande-chaleur (sur le midi),
buvait l'eau
d'un étang qui-était-tranquille.
Et là ayant contemplé
l'ombre de lui-même, il fut attristé
au-sujet de *son* pied
et de *ses* jambes,
il était-fier au-contraire
de *ses* cornes
comme *étant* très-belles.
Et survint la Némésis,
qui punit les sentiments-orgueilleux.
En effet, il vit tout-à-coup
des hommes chasseurs
à-la-fois avec des filets [fin.
et avec de jeunes-chiens à-l'odorat-
Et *les* ayant aperçus, il fuyait,
n'ayant pas-encore étanché *sa* soif,
et il traversait
avec des pas légers
une vaste plaine.
Mais lorsqu'il arriva
dans un bois épais-d'arbres,
il fut pris, embarrassé
dans les broussailles par *ses* cornes.
Et il dit ces-choses :
« Malheureux,
comme je me-suis-trompé !
car les pieds, dont j'avais-honte,

τὰ κέρατα δὲ προὔδωκεν, οἷς ἐγαυρούμην[3]. »

[Περὶ τῶν σεαυτοῦ πραγμάτων ὅταν κρίνῃς,
μηδὲν βέβαιον ὑπολάβῃς, προγινώσκων[4],
μηδ' αὖτ' ἀπογνῷς, μηδ' ἀπελπίσῃς· οὕτω
σφάλλουσιν ἡμᾶς ἐνίοθ' αἱ πεποιθήσεις.]

prisais, me sauvaient, et cette ramure dont j'étais si fier m'a perdu. »

Dans vos jugements sur vous-même, et dans vos prévisions, ne comptez trop sur rien; mais ne désespérez de rien non plus, et ne vous découragez point, tant quelquefois ce qui fait notre confiance peut nous trahir!

ΜΔ'. ΤΑΥΡΟΙ ΚΑΙ ΛΕΩΝ.

Ἐνέμοντο ταῦροι τρεῖς ἀεὶ μετ' ἀλλήλων.
Λέων δὲ τούτους συλλαβεῖν ἐφεδρεύων,
δμοῦ μὲν αὐτοὺς οὐκ ἔδοξε νικήσειν·
λόγοις δ' ὑπούλοις διαβολαῖς τε συγκρούων,
ἐχθροὺς ἐποίει, χωρίσας δ' ἀπ' ἀλλήλων,
ἕκαστον αὐτῶν ἔσχε ῥᾳδίαν θοίνην.
Ὅταν μάλιστα ζῇν θέλῃς ἀκινδύνως,
ἐχθροῖς ἀπίστει, τοὺς φίλους δ' ἀεὶ τήρει.

44. LES TAUREAUX ET LE LION.

Trois taureaux paissaient toujours de compagnie. Un lion qui guettait l'occasion de les prendre, vit bien qu'il n'en viendrait jamais à bout s'ils restaient ensemble; il chercha donc à les animer les uns contre les autres par des calomnies et des propos perfides. Ils furent bientôt ennemis, et les ayant ainsi divisés, le lion ne trouva plus en chacun d'eux qu'une proie facile.

Savez-vous le meilleur moyen de vivre à l'abri des dangers? méfiez-vous de vos ennemis, et conservez toujours vos amis.

ΜΕ'. ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΓΕΣ.

Ἔνιφεν ὁ Ζεύς[1]· αἰπόλος δέ τις φεύγων
εἰς ἄντρον εἰσήλαυνε τῶν ἀοικήτων

45. LE CHEVRIER ET LES CHÈVRES.

Il neigeait; un chevrier cherchait un abri dans un antre écarté, et y poussait ses chèvres toutes blanchies par la neige. Des chèvres sau-

ἔσωζόν μεˑ
τὰ δὲ κέρατα, οἷς ἐγαυρούμην,
προΰδωκε. »
[Ὅταν κρίνῃς
περὶ τῶν πραγμάτων
σεαυτοῦ,
ὑπολάβῃς μηδὲν βέβαιον,
προγινώσκων,
μηδὲ αὖτε ἀπογνῷς,
μηδὲ ἀπελπίσῃς·
οὕτως ἐνίοτε αἱ πεποιθήσεις
ἡμᾶς σφάλλουσι.]

me sauvaient;
mais les cornes, dont j'étais-fier,
*m'*ont trahi. »
[Lorsque tu portes-un-jugement
au-sujet-des affaires
de toi-même,
ne considère rien comme certain,
prévoyant *les chances de l'avenir ;*
et d'un-autre-côté ne désespère pas,
et ne-perds-pas-l'espérance :
tant quelquefois la confiance
nous fait-tomber-dans-le-malheur !]

ΜΔ'. ΤΑΥΡΟΙ ΚΑΙ ΛΕΩΝ.

Τρεῖς ταῦροι ἐνέμοντο
ἀεὶ μετὰ ἀλλήλων.
Λέων δὲ ἐφεδρεύων
συλλαβεῖν τούτους,
οὐκ ἔδοξε μὲν νικήσειν
αὐτοὺς ὁμοῦˑ
συγκρούων δὲ
λόγοις ὑπούλοις
διαβολαῖς τε,
ἐποίει ἐχθρούς,
χωρίσας δὲ ἀπὸ ἀλλήλων,
ἔσχε ἕκαστον αὐτῶν
ῥᾳδίαν θοίνην.
[Ὅταν μάλιστα θέλῃς
ζῆν ἀκινδύνως,
ἀπίστει ἐχθροῖς,
τήρει δὲ ἀεὶ τοὺς φίλους.]

44. LES TAUREAUX ET LE LION.

Trois taureaux paissaient
toujours les uns avec les autres.
Or, un lion guettant-l'occasion
de prendre ceux-ci,
ne pensa pas qu'il vaincrait
eux *étant* ensemble ;
mais *les* excitant *l'un*-contre-*l'autre*
par des discours perfides
et des calomnies,
il *les* rendait ennemis,
et *les* ayant séparés les uns des autres,
il eut chacun d'eux
comme facile repas.
[Lorsque avant-tout tu veux
vivre sans-danger,
méfie-toi des ennemis,
et conserve toujours les amis.]

ΜΕ'. ΑΙΠΟΛΟΣ ΚΑΙ ΑΙΓΕΣ.

Ὁ Ζεὺς ἔνιφενˑ
αἰπόλος δέ τις
φεύγων εἰς ἄντρον
τῶν ἀοικήτων

45. LE CHEVRIER ET LES CHÈVRES.

Jupiter (le ciel) neigeait :
et certain chevrier
se-réfugiant dans une caverne
des *lieux* non-habités

τὰς αἶγας ἁδρῇ χιόνι λευκανθιζούσας.
Εὑρὼν δ' ἐκεῖ τάχιον εἰσδεδυκυίας
αἶγας κερούχους ἀγρίας πολὺ πλείους
ὧν αὐτὸς ἦγε, μείζονάς τε καὶ χρείσσους,
ταῖς μὲν φέρων ἔβαλλε θαλλὸν ἐξ ὕλης,
τὰς δέ γ' ἰδίας ἀφῆκε μακρὰ[2] λιμώττειν.
Ὡς δ' ἠθρίασε, τὰς μὲν εὗρε τεθνώσας,
αἳ δ' οὐκ ἔμειναν, ἀλλ' ὀρῶν ἀβοσκήτων
ἀνέμβατον δρυμῶνα ποσσὶν ἠρεύνων.
Ὁ δ' αἰπόλος [γελάσας] ἦλθεν εἰς οἴκους,
αἰγῶν ἔρημος· ἐλπίσας δὲ τὰς κρείσσους,
οὐκ ὤνατ' οὐδ' ὧν αὐτὸς εἶχεν ἐκ πρώτης[3].

vages, à belles cornes, s'y étaient déjà réfugiées en grand nombre; elles étaient plus grandes et plus fortes que celles qu'il conduisait; il alla chercher de jeunes branches dans la forêt, et les leur donna, laissant la faim tourmenter les siennes. Bientôt le ciel s'éclaircit : il trouva ses bêtes mortes; les autres s'en allèrent et regagnèrent les bois inaccessibles et leurs montagnes sauvages. Le chevrier s'en revint chez lui sans chèvres : il en avait convoité de plus belles; il ne conserva même pas celles qu'il avait.

ΜΖ'. ΕΛΑΦΟΣ ΝΟΣΩΝ.

Ἔλαφος καθ' ὕλην γυῖα κοῦφα ναρχήσας,
ἔκειτο πεδίων[1] ἐν χλόῃ βαθυσχοίνῳ,
ἐξ ἧς ἕτοιμον[2] χιλὸν εἶχε πεινήσας.
Ἦρχοντο δ' ἀγέλαι ποικίλων ἐκεῖ[3] ζώων

46. LE CERF MALADE.

Un cerf, qui sentait ses pieds légers s'engourdir, gisait, au fond d'un bois, dans des herbes hautes et épaisses; il avait là pour sa faim une pâture toute prête. Des animaux de toute espèce accouraient en

εἰσήλαυνε τὰς αἶγας	y-poussait ses chèvres
λευκανθιζούσας	qui étaient-blanches
χιόνι ἀδρῇ.	d'une neige épaisse.
Εὑρὼν δὲ ἐκεῖ	Et ayant trouvé là,
εἰσδεδυκυίας τάχιον	étant entrées plutôt (avant lui),
αἶγας ἀγρίας κερούχους,	des chèvres sauvages cornues,
πολὺ πλείους	beaucoup plus nombreuses
ὧν ἦγεν αὐτός,	que-celles-qu'il conduisait lui-même,
μείζονάς τε καὶ κρείσσους,	et plus grandes et plus fortes,
ἔβαλλε ταῖς μὲν	il jetait à celles-ci
θαλλὸν	de jeunes-branches
φέρων ἐξ ὕλης,	qu'il apportait de la forêt ;
τὰς δέ γε ἰδίας	et ses propres *chèvres*, au-contraire,
ἀφῆκε μακρὰ λιμώττειν.	il *les* laissait longuement avoir-faim.
Ὡς δὲ ἠθρίασε,	Mais lorsque le-ciel-se-fut-éclairci,
τὰς μὲν εὗρε τεθνώσας,	il trouva celles-ci mortes,
αἱ δὲ οὐκ ἔμειναν,	et celles-là ne restèrent pas,
ἀλλὰ ἠρεύνων	mais elles recherchaient
ποσσὶ δρυμῶνα ἀνέμβατον	de *leurs* pieds la forêt inaccessible
ὀρῶν ἀβοσκήτων.	des montagnes non-broutées.
Ὁ δὲ αἰπόλος....	Et le chevrier....
ἦλθεν εἰς οἴκους ἔρημος αἰγῶν·	alla à la maison privé de *ses* chèvres :
ἐλπίσας δὲ τὰς κρείσσους,	et ayant espéré *avoir* les plus fortes,
οὐκ ὤνατο οὐδὲ ὧν	il ne jouit pas même de celles-que
εἶχεν αὐτὸς ἐκ πρώτης.	il possédait lui-même d'abord.

ΜΖ'. ΕΛΑΦΟΣ ΝΟΣΩΝ. 46. LE CERF MALADE.

Ἔλαφος	Un cerf
ναρκήσας γυῖα κοῦφα,	défaillant quant à *ses* membres légers,
ἔκειτο καθ' ὕλην	gisait dans une forêt
ἐν χλόῃ πεδίων	dans l'herbe des prés,
βαθυσχοίνῳ,	*herbe* épaisse-de-hauts-joncs,
ἐξ ἧς πεινήσας	de laquelle, ayant-faim,
εἶχε χιλὸν	il avait (tirait) un fourrage
ἕτοιμον.	tout-prêt.
Ἤρχοντο δὲ ἐκεῖ	Or il venait là
ἀγέλαι ζώων	des troupeaux d'animaux
ποικίλων ἐπισκοπούντων·	de-différentes-espèces *le* visitant ;

ἐπισκοπούντων· ἦν γὰρ ἁβλαβὴς γείτων.
Ἐλθὼν δ' ἕκαστος, τῆς πόης ἀποτρώγων[4],
ἤει πρὸς ὕλας· [ὁ δὲ πενίῃ θνήσκει.]
Ἔλαφος δὲ λιμῷ, κοὐ νόσῳ, κατεσκλήκει[5],
μήπω κορώνην δευτέρην ἀναπλήσας[6],
ὃς εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει.

foule visiter ce bon voisin. Aussitôt arrivé, chacun broutait de son herbe, et rentrait dans les bois.... Le cerf mourut de faim plutôt que de maladie; il avait à peine vécu l'âge de deux corneilles : avec moins d'amis, il aurait pu devenir vieux.

MZ'. ΓΕΡΩΝ ΚΑΙ ΥΙΟΙ.

Ἐν τοῖς παλαιοῖς ἦν ἀνὴρ ὑπέργηρως·
εἶχεν δὲ πολλοὺς παῖδας· οἷς ἐπισκήπτων
(ἔμελλε γὰρ δὴ τὸν βίον τελευτήσειν),
ἐκέλευε λεπτῶν, εἴ τις ἐστί που, ῥάβδων
δέσμην ἐνεγκεῖν. Ἧκέ τις φέρων ταύτην.
« Πειρᾶσθε δή μοι, τέκνα, σὺν βίῃ πάσῃ,
ῥάβδους κατᾶξαι δεδεμένας σὺν ἀλλήλαις. »
Ὁ δ'[1] (οὐ γὰρ ἠδύναντο)· « Κατὰ μίην τοίνυν
πειρᾶσθ' ». Ἑκάστης δ' εὐχερῶς καταγείσης,
« Ὦ παῖδες, οὕτως, » εἶπεν, « ἂν μὲν ἀλλήλοις
ὁμοφρονῆτε πάντες, οὐδ' ἂν εἷς ὑμᾶς
βλάψαι δύναιτο, κἂν μέγιστον ἰσχύῃ·

47. LE LABOUREUR ET SES ENFANTS.

Au temps jadis vivait un vieillard, père de nombreux enfants; voulant leur donner une dernière leçon, car il sentait approcher sa fin, il leur commanda d'aller chercher un faisceau de petites baguettes. L'un d'eux l'apporta. « Mes enfants, dit-il, voyez à présent si vous romprez ces baguettes liées ensemble, et faites-y tous vos efforts. » Puis, comme ils ne le pouvaient pas : « Essayez donc de les briser une à une. » Chaque baguette se rompit aisément : « C'est ainsi, mes enfants, reprit le vieillard, que si vous savez rester unis, l'homme le plus puissant ne pourra rien contre vous; mais si vous vous éloignez

ἦν γὰρ γείτων ἀβλαβής.
Ἕκαστος δὲ ἐλθών,
ἀποτρώγων τῆς πόης,
ἤει πρὸς ὕλας
. . . . . .
Ἔλαφος δὲ κατεσκλήκει
λιμῷ,
καὶ οὐ νόσῳ,
μήπω ἀναπλήσας
δευτέρην κορώνην,
ὃς εἰ οὐκ ἔσχε φίλους,
καὶ ἂν γεγηράκει.

car il était un voisin inoffensif.
Et chacun étant venu,
broutant de *son* herbe,
s'en allait dans les bois
. . . . . .
Or le cerf périt-consumé
par la faim,
et non par la maladie,
n'ayant pas encore accompli [neille,
une deuxième (l'âge de deux) cor-
lui qui, s'il n'avait pas eu d'amis,
aurait pu-devenir-vieux.

ΜΖ'. ΓΕΡΩΝ ΚΑΙ ΥΙΟΙ.

Ἐν τοῖς παλαιοῖς
ἦν ἀνὴρ ὑπέργηρως·
εἶχε δὲ πολλοὺς παῖδας·
οἷς ἐπισκήπτων
(ἔμελλε γὰρ δὴ
τελευτήσειν τὸν βίον),
ἐκέλευεν ἐνεγκεῖν
δέσμην ῥάβδων λεπτῶν,
εἴ πού ἐστί τις.
Ἦκέ τις φέρων ταύτην.
« Πειρᾶσθέ μοι δή, τέκνα,
σὺν πάσῃ βίῃ,
κατᾶξαι ῥάβδους
δεδεμένας σὺν ἀλλήλαις. »
Ὁ δέ (οὐ γὰρ ἠδύναντο)
« Πειρᾶσθε τοίνυν κατὰ μίην. »
Ἑκάστης δὲ καταγείσης
εὐχερῶς, εἶπεν·
« Ὦ παῖδες, ἂν μὲν πάντες
ὁμοφρονῆτε
ἀλλήλοις,
οὐδεὶς δύναιτο ἂν ὑμᾶς βλάψαι,
καὶ ἐὰν ἰσχύῃ
μέγιστον·

47. UN VIEILLARD ET SES FILS.

Dans les anciens *temps*
était un homme extrêmement-vieux
et il avait beaucoup-d'enfants :
auxquels donnant-*ses*-instructions
(car il était sur-le-point
de finir sa vie),
il *leur* ordonnait d'apporter
un faisceau de baguettes minces,
si quelque part il y *en* avait un.
Un *d'eux* vint apportant celui-ci.
« Essayez-moi maintenant, enfants,
avec tout *l'*effort *possible*,
de briser les baguettes
liées les unes-avec-les autres. »
Et lui (car ils ne *le* purent), *dit* :
« Essayez donc une-à-une. »
Et chacune étant *ainsi* rompue
facilement, il dit :
« O *mes* fils, si tous [ments
vous êtes-d'accord-dans-vos-senti-
les uns-avec-les-autres,
personne ne pourrait vous nuire,
même s'il était-puissant
au-plus-haut-degré ;

ἦν δ' ἄλλος ἄλλου χωρὶς ἦτε τὴν γνώμην,
πείσεσθ' ἕκαστος ταὐτὰ τῇ μιῇ ῥάβδῳ. »
[Φιλαδελφία μέγιστον ἀγαθὸν ἀνθρώποις,
ἢ καὶ ταπεινοὺς ὄντας ἦρεν εἰς ὕψος.]

les uns des autres, chacun de vous éprouvera le sort de la baguette. »
L'union fraternelle est pour les hommes un bien précieux ; elle peut élever les plus humbles.

ΜΗ'. ΕΡΜΗΣ ΚΑΙ ΚΥΩΝ.

Ἐν ὁδῷ τις Ἑρμῆς τετράγωνος[1] εἱστήκει·
λίθων δ' ὑπ' αὐτῷ σωρὸς ἦν. Κύων τούτῳ
εἶπε προσελθών· « Χαῖρε πρῶτον, Ἑρμείη·
ἔπειτ' ἀλεῖψαι[2] βούλομαί σε, μηδ' οὕτω
θεὸν παρελθεῖν, καὶ θεὸν παλαιστρίτην. »
Ὁ δ' εἶπεν· « Ἂν μοι τοῦτο μὴ 'πιλιχμήσῃς
τοὔλαιον ἐλθών, μηδέ μοι προσουρήσῃς,
χάριν εἴσομαί σοι[3]· καὶ πλέον με μὴ τίμα. »

48. L'HERMÈS ET LE CHIEN.

Sur une route était un Hermès quadrangulaire; il avait à ses pieds un tas de pierres. Un chien s'en approcha et lui dit : « Reçois d'abord mon salut, ô Mercure; je veux t'oindre ensuite, pour ne pas passer sans l'honorer devant un dieu, devant le dieu des lutteurs. » L'Hermès lui répondit : « Pourvu que tu ne me lappes pas mon huile et ne m'arroses point de ton urine, je te rendrai grâce, et te tiens quitte de tes honneurs. »

ΜΘ'. ΕΡΓΑΤΗΣ ΚΑΙ ΤΥΧΗ.

Ἐκάθευδε νύκτωρ ἐργάτης ὑπ' ἀγνοίης
φρέατος ἐγγύς. Τῆς Τύχης δ' ἐπιστάσης

49. L'OUVRIER ET LA FORTUNE.

Un ouvrier s'était endormi la nuit par mégarde sur le bord d'un puits. Il lui sembla entendre la Fortune qui s'approchait et lui di-

ἂν δὲ ἦτε τὴν γνώμην
χωρὶς ἄλλος ἄλλου,
πείσεσθε ἕκαστος
τὰ αὐτὰ
τῇ ῥάβδῳ τῇ μιῇ. »
[Φιλαδελφία
μέγιστον ἀγαθὸν ἀνθρώποις,
ἣ ἦρεν εἰς ὕψος
καὶ ὄντας ταπεινούς.]

mais si vous êtes dans *vos* sentiments
en-désaccord l'un avec l'autre,
vous éprouverez chacun
la même chose
que la baguette isolée. »
[L'amour-fraternel *est*
le plus grand bien pour les hommes,
lui qui éleva (élève) en haut
aussi ceux qui sont humbles.]

ΜΗ'. ΕΡΜΗΣ ΚΑΙ ΚΥΩΝ.

Ἐν ὁδῷ εἱστήκει
Ἑρμῆς τις τετράγωνος·
ὑπὸ δὲ αὐτῷ
ἦν σωρὸς λίθων.
Κύων προσελθὼν
τούτῳ, εἶπε·
« Πρῶτον, Ἑρμείη, χαῖρε·
ἔπειτα βούλομαί σε ἀλεῖψαι,
καὶ μὴ οὕτω παρελθεῖν θεόν,
καὶ θεὸν παλαιστρίτην. »
Ὁ δὲ εἶπεν·
« Ἂν ἐλθὼν
μή μοι ἐπιλιχμήσῃς
τοῦτο τὸ ἔλαιον,
μηδέ μοι προσουρήσῃς,
εἴσομαί σοι χάριν·
καὶ μή με τίμα πλέον. »

48. MERCURE ET LE CHIEN.

Sur une route était-debout
un Hermès quadrangulaire :
et sous lui (à ses pieds)
était un tas de pierres.
Un chien s'étant approché
de celui-ci (de l'Hermès), dit :
« D'abord, Hermès, salut :
ensuite je veux t'oindre,
et ne pas ainsi passer-devant un dieu,
et, *cela*, le dieu-de-la-palestre. »
Mais celui-ci *lui* dit :
« Si étant venu *ici*
tu ne me lèches pas
cette huile *répandue sur moi*,
ni ne m'asperges-de-ton-urine,
je te saurai gré :
et ne m'honore pas davantage. »

ΜΘ'. ΕΡΓΑΤΗΣ ΚΑΙ ΤΥΧΗ.

Ἐργάτης ἐκάθευδε
νύκτωρ ὑπὸ ἀγνοίης
ἐγγὺς φρέατος.
Ἔδοξε δὲ ἀκούειν
τῆς Τύχης
ἐπιστάσης·

49. L'OUVRIER ET LA FORTUNE.

Un ouvrier dormait
pendant-la-nuit par inadvertance
près d'un puits.
Et il crut entendre
la Fortune
qui-s'était-placée-près *de lui* :

ἔδοξ' ἀκούειν· « Οὗτος, οὐκ ἐγερθήσῃ;
μή σου πεσόντος αἰτίη παρ' ἀνθρώποις
ἐγὼ λέγωμαι, καὶ κακὴν λάβω φήμην.
Ἐμοὶ γὰρ ἐγκαλοῦσι πάντα συλλήβδην,
ὅσ' ἂν παρ' αὐτοῦ δυστυχῇ τις, ἢ πταίῃ. »

sait : « Holà! te réveilleras-tu? Veux-tu que les hommes me reprochent ta chute et me fassent une méchante réputation? Ils s'en prennent déjà à moi de tous les malheurs, de tous les accidents dont ils sont la seule cause. »

Ν'. ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΤΟΜΟΣ.

Ἔφευγ' ἀλώπηξ· τῆς δ' ὄπισθε[1] φευγούσης
κυνηγὸς ἐτρόχαζεν. Ἡ δ' ἐκεκμήκει·
ὀρυτόμον δ' ἰδοῦσα, « Πρὸς θεῶν σε σωτήρων,
κρύψον με ταύταις αἷς ἔκοψας αἰγείροις,
καὶ τῷ κυνηγῷ, » φησί, « μή με μηνύσῃς. »
Ὁ δ' οὐ προδώσειν ὤμνυ· ἡ δ' ἀπεκρύφθη.
Ἦλθεν κυνηγός, καὶ τὸν ἄνδρ' ἐπηρώτα,
μὴ[2] τῇδ' ἀλώπηξ καταδέδυκεν, ἢ φεύγει.
« Οὐκ εἶδον, » εἶπε· τῷ δὲ δακτύλῳ νεύων
τὸν τόπον ἐδείκνυ' οὗ πανοῦργος ἐκρύφθη.
Ὁ δ' οὐκ ἐπισχών[3], τῷ λόγῳ δὲ πιστεύσας,

50. LE RENARD ET LE BUCHERON.

Un renard fuyait; un chasseur courait sur sa piste. L'animal était rendu; il avise un bûcheron et lui dit : « Au nom des dieux sauveurs, de grâce, cache-moi sous ces peupliers que tu viens d'abattre, et ne me dénonce pas au chasseur. » L'homme jura de ne le point trahir; l'autre se cacha. Arrive le chasseur qui demande au bûcheron si un renard ne s'était pas réfugié dans cet endroit, ou s'il fuyait : « Je n'en ai point vu, répondit-il, mais du doigt il indiqua le lieu où le matois s'était tapi. Le chasseur n'y prit pas garde, n'écouta que ses paroles

« Οὗτος, οὐκ ἐγερθήσῃ;
μὴ ἐγὼ λέγωμαι
παρὰ ἀνθρώποις
αἰτίη σου
πεσόντος,
καὶ λάβω
κακὴν φήμην.
Ἐμοὶ γὰρ ἐγκαλοῦσι
συλλήβδην
πάντα ὅσα ἄν τις
παρὰ αὑτοῦ
δυστυχῇ ἢ πταίῃ. »

« Hé toi! ne te réveilleras-tu pas?
de-peur-que moi je ne sois dite
auprès des hommes
être la cause de toi
tombé (de ta chute),
et que je n'*en* prenne
une mauvaise réputation.
Car *c'est* à moi *qu'*ils reprochent
en-somme
tout ce-en-quoi quelqu'un
par lui-même (par sa propre faute
est-malheureux ou faillit. »

Ν'. ΑΛΩΠΗΞ ΚΑΙ ΔΡΥΤΟΜΟΣ.

50. LE RENARD ET LE BUCHERON.

Ἀλώπηξ ἔφευγε·
τῆς δὲ ὄπισθε φευγούσης
ἐτρόχαζε κυνηγός.
Ἡ δὲ ἐκεκμήκει·
ἰδοῦσα δὲ δρυτόμον φησί·
« Πρὸς θεῶν σωτήρων
σέ, κρύψον με
ταύταις αἰγείροις αἷς ἔκοψας,
καὶ μή με μηνύσῃς τῷ κυνηγῷ. »
Ὁ δὲ ὤμνυεν
οὐ προδώσειν·
ἡ δὲ ἀπεκρύφθη.
Ἦλθε κυνηγός,
καὶ ἐπηρώτα τὸν ἄνδρα,
μὴ τῇδε ἀλώπηξ
καταδέδυκεν, ἢ φεύγει.
« Οὐκ εἶδον, » εἶπε·
νεύων δὲ τῷ δακτύλῳ,
ἐδείκνυε τὸν τόπον,
οὗ πανοῦργος ἐκρύφθη.
Ὁ δὲ
οὐκ ἐπισχών,
πιστεύσας δὲ

Un renard fuyait :
et-sur-les-pas de lui fuyant
courait un chasseur.
Et il était-épuisé-de-fatigue;
et ayant aperçu un bûcheron, il dit :
« De par les dieux sauveurs
je te *conjure*, cache moi
sous ces peupliers que tu as coupés,
et ne me dénonce pas au chasseur. »
Et celui-ci jurait
qu'il ne *le* trahirait pas :
et l'autre se cacha.
Vint le chasseur,
et il interrogeait l'homme,
si en-cet-endroit un renard
ne s'était pas caché, ou *s'il* fuyait.
« Je ne *l'*ai pas vu, » dit-il;
mais faisant-signe du doigt,
il montrait le lieu,
où le coquin s'était caché.
Mais lui (le chasseur)
n'*y* ayant pas fait-attention,
mais ayant ajouté-foi

παρῆλθε. Θερμοῦ[4] δ' ἐκφυγοῦσα κινδύνου,
κερδῶ παχείας ἐξέκυπτεν αἰγείρου[5],
σεσηρὸς αἰκάλλουσα. Τῇ δ' ὁ πρεσβύτης
« Ζωαγρίους μοι χάριτας, » εἶπεν, « ὀφλήσεις.
Ἐρρυσάμην σε, » φησίν· « ἀλλὰ μιμνήσκου. »
« Πῶς οὐκ ἄν[6], » εἶπεν, « ὢν γε μάρτυς εἱστήκειν;
Ἔρρωσο[7] τοίνυν, καὶ τὸν ὅρκον οὐ φεύξῃ.
Φωνῇ μ' ἔσωσας, δακτύλῳ δ' ἀπέκτεινας. »
[Σοφὸν τὸ θεῖον κἀπλάνητον· οὐδ' ἄν τις
λαθεῖν ἐπιορκῶν προσδοκᾷ, δίκην φεύγει.]

et s'éloigna. Cependant le renard, remis d'une si chaude alarme, sortit de dessous les peupliers, agitant sa queue et grinçant des dents. « Tu me dois la vie, lui dit le vieillard, je t'ai sauvé, souviens-toi de moi. — Comment ne m'en souviendrais-je pas, reprit le renard, j'étais là, j'ai tout vu? Rassure-toi donc, tu n'échapperas pas à la peine du parjure. Ta langue m'a sauvé quand ton doigt m'assassinait. »

Les dieux sont clairvoyants et ne se laissent point tromper; les parjures ne peuvent espérer de se dérober à leur justice.

ΝΑ'. ΧΗΡΑ ΚΑΙ ΠΡΟΒΑΤΟΝ.

Ἐν τῷ ποτ' οἴκῳ πρόβατον εἶχέ τις χήρη.
Θέλουσα δ' αὐτοῦ τὸν πόκον λαβεῖν μείζω,
ἔκειρεν ἀτέχνως, τῆς τε σαρκὸς οὐ πόρρω
τὸν μαλλὸν ἐψάλιζεν, ὥστε τιτρώσκειν.
Ἀλγοῦν δὲ πρόβατον, εἶπε· « Μή με λυμαίνου·

51. LA VEUVE ET LA BREBIS.

Une veuve possédait une brebis dans sa maison. Pour en avoir de plus longue laine, elle la tondait si maladroitement, et coupait si près de la peau, qu'elle l'entamait. N'en pouvant plus, la brebis lui dit :

τῷ λόγῳ, παρῆλθε.
Κερδὼ δέ, ἐκφυγοῦσα
κινδύνου θερμοῦ,
ἐξέκυπτεν
αἰγείρου παχείας,
αἰκάλλουσα
σεσηρός.
Τῇ δὲ ὁ πρεσβύτης εἶπεν·
« Ὀφλήσεις μοι
χάριτας ζωαγρίους.
Ἐῤῥύσάμην σε,
φησίν· ἀλλὰ μιμνήσκου. »
« Πῶς οὐκ ἄν,
εἶπεν,
ὧν γε εἱστήκειν
μάρτυς;
Ἔῤῥωσο τοίνυν,
καὶ οὐ φεύξῃ
τὸν ὅρκον.
Ἔσωσάς με φωνῇ,
ἀπέκτεινας δὲ δακτύλῳ. »
[Τὸ θεῖον σοφὸν
καὶ ἀπλάνητον·
οὐδὲ ἄν τις,
ἐπιορκῶν,
προσδοκᾷ λαθεῖν,
φεύγει δίκην.]

aux paroles *de l'homme*, passa.
Et le renard, ayant échappé
au danger brûlant,
sortait-de-dessous
le peuplier touffu,
remuant-la-queue
en grinçant-des-dents.
Et le vieillard lui dit :
« Tu me devras
la reconnaissance de-ta-vie-sauvée.
Je t'ai sauvé,
dit-il ; or, souviens-t'*en*. »
« Comment ne *me souviendrais-je*
répondit-il,
de ce dont j'étais-là
témoin *moi-même* ?
Sois-tranquille donc,
et tu n'échapperas pas
au serment (à la peine du serment violé).
Tu m'as sauvé par la parole,
mais tu *m'as* tué par le doigt. »
[La divinité *est* clairvoyante
et ne-peut-être-trompée ;
et même si quelqu'un,
se parjurant,
espère être caché ;
il n'échappe pas à la punition.]

ΝΑ'. ΧΗΡΑ ΚΑΙ ΠΡΟΒΑΤΟΝ. 51. LA VEUVE ET LA BREBIS.

Χήρη τις εἶχέ ποτε
ἐν τῷ οἴκῳ πρόβατον.
Θέλουσα δὲ λαβεῖν
τὸν πόκον αὐτοῦ μείζω,
ἔκειρεν ἀτέχνως,
ἐψάλιζέ τε τὸν μαλλὸν
οὐ πόῤῥω τῆς σαρκός,
ὥστε τιτρώσκειν.
Πρόβατον δὲ ἀλγοῦν εἶπε·

Certaine veuve avait une-fois
dans sa maison une brebis.
Et voulant obtenir
la laine d'elle plus longue,
elle *la* tondait maladroitement,
et coupait la toison
non loin de la chair,
de manière à blesser *la brebis*.
Et la brebis souffrant *lui* dit :

πόσην γὰρ ὄλκην τοὐμὸν αἷμα προσθήσει;
Ἀλλ' εἰ χρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
ἔστιν μάγειρος, ὅς με συντόμως θύσει·
εἰ δ' εἰρίων πόκου τε, κοὐ χρεῶν, χρῄζεις,
πάλιν ἔστι κουρεύς, ὃς κερεῖ με καὶ σώσει. »

« Ne me fais point de mal; de combien mon sang rendra-t-il ta laine plus pesante? Si tu as besoin, maîtresse, de ma chair, il y a le boucher, qui me tuera d'un coup; mais si c'est ma laine et ma toison qu'il te faut, il y a le tondeur, qui me tondra du moins sans m'écorcher. »

ΝΒ'. ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΑΜΑΞΑ.

Εἰς ἄστυ τετράκυκλον ἄρρενες[1] ταῦροι
ἅμαξαν ὤμοις εἷλκον. Ἡ δ' ἐτετρίγει,
καὶ τὸν βοώτην θυμὸς εἶχε. Τῇ δ' οὕτως,
ἐγγὺς προσελθών, εἶπεν ὡς ἀκουσθῆναι·
« Ὦ παγκάκιστον κτημάτων, τί δὴ κρώζεις,
ἄλλων ἐπ' ὤμοις φερομένη σιωπώντων; »
Κακοῦ πρὸς[2] ἀνδρός ἐστι μακρὸν οἰμώζειν
ἄλλων πονούντων, ὥσπερ αὐτὸς εἰ κάμνοι.

52. LE BOUVIER ET LE CHAR.

Traîné par les épaules de vigoureux taureaux, un char roulait sur ses quatre roues vers la ville. La voiture criait, le bouvier en prit de l'humeur, s'approcha et dit de façon à se faire entendre : « Oh! la détestable machine, pourquoi tout ce bruit, quand ceux qui te portent sur leurs épaules se taisent? »

Les lâches, quand ils voient travailler les autres, sont toujours à gémir bien haut, comme s'ils avaient toute la peine.

ΝΓ'. ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη,
ζωγρεῖν ἐδεῖτο, μηδὲ γραῦν ἀποκτείνειν.

53. LE LOUP ET LE RENARD.

Un renard s'étant par malheur jeté sous la patte d'un loup, le conjurait de lui laisser la vie sauve et d'épargner un vieillard. « Dis-moi

« Μή με λυμαίνου·
πόσην γὰρ ὀλκὴν τὸ ἐμὸν αἷμα
προσθήσει ;
Ἀλλὰ εἰ χρῄζεις, δέσποινα,
τῶν ἐμῶν κρεῶν, ἔστι μάγειρος,
ὅς με θύσει συντόμως·
εἰ δὲ χρῄζεις
εἰρίων πόκου τε,
καὶ οὐ κρεῶν,
ἔστι πάλιν κουρεύς,
ὅς με κερεῖ
καὶ σώσει. »

« Ne me maltraite pas :
car quel poids mon sang
ajoutera-t-il *à la laine ?*
Mais si tu as-besoin, maîtresse,
de mes chairs, il y a le cuisinier,
qui m'immolera d'un-coup ;
si d'un-autre-côté tu as-besoin
de *mes* laines et de *ma* toison,
et non de *mes* chairs,
il y a encore le tondeur,
qui me tondra
et *me* conservera-sauve. »

ΝΒ'. ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΑΜΑΞΑ.

Ταῦροι ἄῤῥενες
εἷλκον ὤμοις
ἅμαξαν τετράκυκλον
εἰς ἄστυ.
Ὁ δὲ ἐτετρίγει,
καὶ θυμὸς εἶχε τὸν βοώτην.
Τῇ δὲ προσελθὼν ἐγγὺς
εἶπεν οὕτως,
ὡς ἀκουσθῆναι·
« Ὦ παγκάκιστον
κτημάτων,
τί δὴ κρώζεις,
φερομένη ἐπὶ ὤμοις
ἄλλων σιωπώντων ; »
Ἔστι πρὸς ἀνδρὸς κακοῦ
οἰμώζειν μακρόν,
ἄλλων πονούντων,
ὥσπερ εἰ αὐτὸς κάμνοι.

52. LE BOUVIER ET LE CHAR.

Des taureaux mâles
traînaient de *leurs* épaules
un char à-quatre-roues
vers une ville.
Et celui-ci criait,
et la colère possédait le bouvier.
Et s'étant approché de lui près,
il *lui* parla ainsi,
de manière à être entendu :
« O la plus détestable
des possessions,
pourquoi donc croasses-tu,
étant porté sur les épaules
d'autres qui se-taisent ? »
C'est le *propre* d'un homme lâche
de gémir beaucoup (bien haut),
lorsque d'autres travaillent,
comme si lui-même se-fatiguait.

ΝΓ'. ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.

Δειλαίη ἀλώπηξ
ἐμπεσοῦσα εἰς λύκον,
ἐδεῖτο ζωγρεῖν,
μηδὲ ἀποκτείνειν γραῦν.

53. LE LOUP ET LE RENARD.

Un malheureux renard
étant tombé sur un loup,
le priait de *le* prendre-à-merci,
et de ne pas tuer un vieillard.

Ὁ δ', « Ἄν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
ἐγώ σε, νὴ τὸν Πᾶνα, » φησί, « ζωγρήσω. »
Ἡ δ', « Εἴθε μέν μοι πρῶτα μὴ συνηντήκοις·
ἔπειτα δ', εἴθε τυφλὸς ὢν ὑπηντήκοις[1]·
τρίτον δ' ἐπ' αὐτοῖς, » εἶπε, « μὴ σύγ' εἰς ὥρας[2]
ἴκοιο, μηδέ μοι πάλιν συναντήσαις. »

trois paroles de vérité, répondit le loup, et de par Pan je te fais merci. » Alors le renard : « Puissé-je d'abord ne t'avoir pas rencontré! Puissé-je ensuite n'avoir rencontré qu'un loup aveugle! Enfin, puisses-tu ne pas vivre vieux, et ne plus jamais me rencontrer! »

ΝΑ'. ΒΟΥΣ ΚΑΙ ΟΝΟΣ.

Ἕνα βοῦν τις εἶχε· τὴν ὄνον δὲ συζεύξας,
ἠροτρία, πτωχῶς μέν, ἀλλ' ἀναγκαίως.
Ἐπεὶ δὲ τοῦργον ἐτετέλεστο καὶ λύειν
ἔμελλεν αὐτούς, ἥ τ' ὄνος διηρώτα
τὸν βοῦν, « Τίς ἄξει τῷ γέροντι τὰ σκεύη; »
ὁ βοὺς πρὸς αὐτὴν εἶπεν· « Ὅσπερ εἰώθει. »

54. LE BOEUF ET L'ANESSE.

Un homme ne possédait qu'un bœuf; il l'attela un jour avec une ânesse, et laboura ainsi misérablement, mais il ne pouvait mieux. Au bout de la journée, l'homme allait dételer, et l'ânesse demanda au bœuf : « Qui ramènera chez le vieillard les instruments de labour? — Celui qui en a l'habitude, » répondit le bœuf.

ΝΕ'. ΖΕΥΣ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Εὐτεχνίης ἔπαθλα πᾶσι τοῖς ζῴοις
ὁ Ζεὺς ἔθηκε· πάντα δ' ἔβλεπε κρίνων.
Ἦλθεν δὲ καὶ πίθηκος ὡς καλὴ[1] μήτηρ,

55. JUPITER ET LA GUENON.

Jupiter avait promis un prix à celui de tous les animaux qui montrerait les plus beaux enfants; avant de se décider, il les passait tous en revue. La guenon se présenta aussi, se croyant une heureuse

Ὁ δέ φησιν·
« Ἄν μοι εἴπῃς
τρεῖς λόγους ἀληθινούς,
νὴ τὸν Πᾶνα, ἐγώ σε ζωγρήσω. »
Ἡ δέ· « Πρῶτα μὲν
εἴθε
μή μοι συνηντήκοις·
ἔπειτα δὲ εἴθε
ὑπηντήκοις ὢν τυφλός·
τρίτον δὲ ἐπ' αὐτοῖς,
εἶπε, μὴ σύ γε ἵκοιο
εἰς ὥρας,
μηδέ μοι συναντήσαις
πάλιν. »

Et celui-ci *lui* dit :
« Quand tu m'auras dit
trois paroles vraies,
oui, par Pan, je te prendrai-à-merci. »
Et l'autre *lui dit* : « D'abord,
plût-aux-dieux-que
tu ne m'eusses pas rencontré !
ensuite, plût-aux-dieux-que
tu m'eusses rencontré étant aveugle !
et en troisième-lieu après cela,
dit-il, puisses-tu ne point parvenir
à des années,
et puisses-tu ne pas me rencontrer
de-nouveau ! »

ΝΔ'. ΒΟΥΣ ΚΑΙ ΟΝΟΣ. — 54. LE BOEUF ET L'ANESSE.

Εἶχέ τις βοῦν ἕνα·
συζεύξας δὲ τὴν ὄνον,
ἠροτρία,
πτωχῶς μέν, ἀλλὰ ἀναγκαίως.
Ἐπεὶ δὲ τὸ ἔργον ἐτετέλεστο,
καὶ ἔμελλε
λύειν αὐτούς,
ἥ τε ὄνος διηρώτα τὸν βοῦν·
« Τίς ἄξει τῷ γέροντι
τὰ σκεύη; »
ὁ βοῦς εἶπε πρὸς αὐτήν·
« Ὅσπερ εἰώθει. »

Quelqu'un avait un bœuf unique :
et ayant attelé-avec *lui* son ânesse,
il labourait *ainsi*, [ment.
pauvrement à-la-vérité, mais forcé-
Et quand la besogne était achevée,
et qu'il était-au-moment
de les dételer,
et que l'ânesse demandait au bœuf :
« Qui portera au vieillard
les instruments ? »
le bœuf dit à elle :
« Celui qui *en* avait-l'habitude. »

ΝΕ'. ΖΕΥΣ ΚΑΙ ΠΙΘΗΚΟΣ. — 55. JUPITER ET LA GUENON.

Ὁ Ζεὺς ἔθηκε
πᾶσι τοῖς ζῴοις
ἆθλα εὐτεκνίης·
ἔβλεπε δὲ πάντα κρίνων.
Ἦλθε δὲ καὶ πίθηκος
ὡς μήτηρ καλὴ

Jupiter proposa
à tous les animaux
des prix de belle-progéniture :
et il *les* examinait tous en jugeant.
Et vint aussi une guenon,
comme une mère fortunée,

πίθωνα γυμνόν, σιμόν, ἠρμένη κόλποις.
Γέλως δ' ἐπ' αὐτῷ τοῖς θεοῖς ἐκινήθη.
Ἡ δ' εἶπεν οὕτω· « Ζεὺς μὲν οἶδε τὴν νίκην[2]·
ἐμοὶ δὲ πάντων οὗτός ἐστι καλλίων. »
Ὁ λόγος δοκεῖ μοι πᾶσι τοῦτο σημαίνειν,
τὸν αὐτὸς αὑτοῦ[3] πᾶς τις εὐπρεπῆ κρίνει.

mère, et portant dans ses bras un petit singe tout pelé et tout camus. A cette vue, les dieux éclatèrent de rire. Mais la guenon : « Jupiter, dit-elle, sait à qui donner le prix; mais à mes yeux, voici le plus beau de tous. »

Cette fable nous fait bien voir qu'on trouve toujours ses enfants assez beaux.

ΝΣ'. ΕΡΜΟΥ ΑΜΑΞΑ ΚΑΙ ΑΡΑΒΕΣ.

Ἑρμῆς ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίης πάσης,
ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι τῶν ῥώπων
νέμων ἑκάστῳ μικρόν. Ὡς δὲ τῷ χώρῳ
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξήει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. Οἱ δ', ὥσπερ[1]
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτήν, οὐδ' ἀφῆκαν εἰς ἄλλους

56. LE CHAR DE MERCURE ET LES ARABES.

Mercure emplit un char de mensonges, de tromperies et de fourberies de toute espèce, puis il le promena par toute la terre, allant de peuple en peuple, et distribuant à chacun une petite part de sa provision. Arrivé chez les Arabes, il traversait leur pays, quand tout à coup son char se brisa et s'arrêta. Les Arabes, croyant qu'il renfermait les marchandises d'un riche trafiquant, se jetèrent dessus, le pil-

ἠρμένη κόλποις
πίθωνα γυμνόν, σιμόν
Γέλως δὲ ἐπὶ αὐτῷ
ἐκινήθη τοῖς θεοῖς.
Ἡ δὲ εἶπεν οὕτω·
« Ζεὺς μὲν οἶδε
τὴν νίκην·
ἐμοὶ δὲ οὗτός ἐστι
καλλίων πάντων. »
Ὁ λόγος μοι δοκεῖ
σημαίνειν τοῦτο πᾶσι·
Πᾶς τις κρίνει εὐπρεπῆ
αὐτὸς τὸν αὑτοῦ.

portant sur *son* sein
un petit-singe nu (sans poil), camus.
Et un éclat-de-rire sur lui
fut excité aux dieux.
Et elle parla ainsi :
« Jupiter sans-doute connaît
la victoire (le vainqueur);
mais pour moi celui-ci est
plus beau que tous. »
La fable me semble
indiquer cela à tous :
Un chacun juge beau
lui-même celui de lui-même.

ΝΖ'. ΑΜΑΞΑ ΕΡΜΟΥ ΚΑΙ ΑΡΑΒΕΣ.

Ἑρμῆς πληρώσας
ἅμαξαν ψευσμάτων τε
ἀπάτης τε πολλῆς
καὶ πανουργίης πάσης,
ἤλαυνε
διὰ γῆς,
ἀμείβων σχέδην
ἐξ ἄλλου ἄλλο φῦλον,
καὶ νέμων ἑκάστῳ
μικρόν τι μέρος
τῶν ῥώπων.
Ὡς δὲ ἐπῆλθε
τῷ χώρῳ τῷ τῶν Ἀράβων
καὶ διεξήει,
λέγουσι τὴν ἅμαξαν αὐτοῦ
συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι.
Οἱ δὲ αὐτὴν ἐκένωσαν
ἁρπάζοντες
ὥσπερ φόρτον πολύτιμον
ἐμπόρου,
οὐδὲ ἀφῆκαν

56. LE CHAR DE MERCURE ET LES ARABES.

Mercure ayant rempli
un char et de mensonges
et de tromperie en-grande-quantité
et de fourberie de tout-espèce,
le menait (promenait)
par *toute* la terre,
passant lentement
d'une autre à une autre nation,
et distribuant à chacune
une petite portion
de *ses* marchandises.
Et lorsqu'il arriva
dans le pays des Arabes
et qu'il *le* traversait,
on raconte que le char de lui
s'étant brisé tout-à-coup
s'arrêta.
Et eux le vidèrent
le pillant,
comme *étant* la charge précieuse
d'un marchand,
et ils ne permirent pas

ἔτι προελθεῖν γῆν πολοῦντας ἀνθρώπους.
Ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται[2] ῥῆμα τῆς ἀληθείης.

lèrent et l'empêchèrent d'aller chez les autres peuples. Depuis ce temps, j'en ai fait l'expérience, les Arabes sont fourbes et menteurs; il n'y a pas sur leur langue un seul mot de vérité.

ΝΖ′. ΔΙΟΣ ΠΙΘΟΣ.

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας,
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
Ὁ δ' ἀκρατὴς ἄνθρωπος εἰδέναι σπεύδων
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους,
κἀκεῖ πέτεσθαι[1], τῆς τε γῆς ἄνω φεύγειν.
Μόνη δ' ἔμεινεν Ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. Τοιγὰρ Ἐλπὶς ἀνθρώποις
OZ'. ΚΟΡΑΞ ΝΟΣΩΝ.

Κόραξ νοσήσας εἶπε μητρὶ κλαιούσῃ·
« Μὴ κλαῖε, μῆτερ, ἀλλὰ τοῖς θεοῖς εὔχου
νόσου με δεινῆς καὶ πόνων ἀνασφῆλαι. »
« Καὶ τίς σε, » φησί, « τῶν θεῶν, τέκνον, σώσει;
τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη; »

77. LE CORBEAU MALADE.

Un Corbeau malade dit à sa mère qui pleurait : « Mère, ne pleure pas, mais prie les dieux de me délivrer de ma maladie et de mes souffrances. — Quel dieu voudra te venir en aide? répondit la mère. Quel est celui dont tu n'as pas pillé l'autel? »

OH'. ΚΥΩΝ ΚΑΙ ΣΚΙΑ.

Κρέας κύων ἔκλεψεν ἐκ μαγειρείου.
Καὶ δὴ παρήει ποταμόν· ἐν δὲ τῷ ῥείθρῳ
πολὺ τοῦ κρέως ἰδοῦσα τὴν σκιὴν μείζω,
τὸ κρέας ἀφῆκε[1], τῇ σκιᾷ δ' ἐφωρμήθη.
Ἀλλ' οὔτ' ἐκείνην εὗρεν, οὔθ' ὃ βεβλήκει·
πεινῶσα δ' ὀπίσω τὸν πόρον διεξήει.
[Βίος ἀβέβαιος παντὸς ἀνδρὸς ἀπλήστου
ἐλπίσι ματαίαις πραγμάτων[2] ἀνήλωται.]

78. LE CHIEN ET L'OMBRE.

Un chien avait volé un morceau de viande dans une cuisine. Passant sur le bord d'une rivière, et voyant dans l'eau sa proie qui lui parut plus grande, il la lâcha, et s'élança sur l'image; mais il n'eut ni l'ombre ni le corps, et regagna la rive les dents longues.

L'homme insatiable n'est assuré de rien; sa vie se perd en vaines espérances.

λαβοῦσα, εἶπε
γλώσσῃ κερτόμῳ·
« Οὐκ ἦσθα ἄφωνος,
ἀλλὰ φωνήεις.
Κόραξ, ἔχεις ἅπαντα·
οὗς δέ σοι λείπει. »

λαβὸν *l'*ayant pris, dit
avec un langage railleur :
« Tu n'étais pas muet,
mais doué-de-voix.
Corbeau, tu possèdes tout ;
mais l'esprit te manque. »

ΟΖ'. ΚΟΡΑΞ ΝΟΣΩΝ.

Κόραξ νοσήσας
εἶπε μητρὶ κλαιούσῃ·
« Μὴ κλαῖε, μῆτερ,
ἀλλὰ εὔχου τοῖς θεοῖς
ἀνασφῆλαί με
δεινῆς νόσου
καὶ πόνων.
« Καὶ τίς τῶν θεῶν, φησί,
σώσει σε, τέκνον ;
τίνος γὰρ βωμὸς
οὐκ ἐσυλήθη ὑπὸ σοῦ ; »

77. LE CORBEAU MALADE.

Un corbeau étant malade
dit à *sa* mère qui pleurait :
« Ne pleure pas, mère,
mais adresse-des-prières aux dieux
pour que je relève
de *cette* grave maladie
et de *mes* souffrances.
« Et lequel des dieux, dit-elle,
te sauvera, *mon* enfant ?
duquel *d'entr'eux*, en effet, l'autel
n'a-t-il pas été dépouillé par toi ? »

ΟΗ'. ΚΥΩΝ ΚΑΙ ΣΚΙΑ.

Κύων ἔκλεψε
κρέας ἐκ μαγειρείου.
Καὶ δὴ παρήει ποταμόν·
ἰδοῦσα δὲ ἐν τῷ ῥείθρῳ
τὴν σκιὴν τοῦ κρέως
πολὺ μείζω,
ἀφῆκε τὸ κρέας,
ἐφορμήθη δὲ τῇ σκιᾷ.
Ἀλλὰ εὗρεν οὔτε ἐκείνην,
οὔτε ὃ βεβλήκει·
διεξῄει δὲ ὀπίσω
τὸν πόρον πεινῶσα.
[Βιὸς ἀβέβαιος
παντὸς ἀνδρὸς ἀπλήστου
ἀνήλωται
ἐλπίσι ματαίαις
πραγμάτων.]

78. LE CHIEN ET L'OMBRE.

Un chien avait dérobé
de la viande d'une cuisine.
Et alors il passait près d'un fleuve.
Or, ayant vu dans le courant
l'ombre de la viande
beaucoup plus grande,
il lâcha la viande,
et s'élança sur l'ombre.
Mais il ne trouva ni celle-ci,
ni ce qu'il avait jeté :
et il passa en-arrière (repassa)
la rivière, ayant faim.
[La vie incertaine
de tout homme insatiable
est consumée
en vaines espérances
d'affaires.]

ΟΘ'. ΚΑΜΗΛΟΣ.

Κάμηλον ἠνάγκαζε δεσπότης πίνων
ὀρχεῖσθ' ὑπ' αὐλοῖς[1] κυμβάλοις τε χαλκείοις.
Ἡ δ' εἶπ' · « Ἐμοὶ γένοιτο κἂν ὁδῷ βαίνειν
« ἄνευ γέλωτος, μήτι γ'[2] ἐν χορῷ παίζειν. »

79. LE CHAMEAU.

Un maître, pendant qu'il était à boire, forçait son chameau à danser au son des flûtes et des cymbales d'airain. La bête lui dit : « Plût aux dieux que je ne fisse pas rire en marchant! Faut-il encore que je danse! »

Π'. ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Κερδὼ πιθήκῳ φησίν[1]· « Ἥν ὁρᾷς στήλην,
« ἐμοὶ πατρῴη τ' ἐστὶ κἄτι παππῴη. »
Κερδοῖ πίθηκος εἶπεν · « Ὡς θέλεις ψεύδου,
« ἔλεγχον οὐχ ἕξουσα[2] τῆς ἀληθείης. »
[Κακοῦ πρὸς ἀνδρός ἐστι μὴ φεύγειν ψεῦδος, 5
κἂν[3] λανθάνειν ψευδόμενος εὐχερῶς μέλλῃ.]

80. LE RENARD ET LE SINGE.

Un renard disait à un singe : « Tu vois ce cippe; c'est celui de mon père, et même de mon grand-père. » Le singe lui répondit : « Tu peux mentir à ton aise, car personne ne peut te confondre. »
C'est le propre de l'homme malhonnête de mentir, surtout quand il est certain de n'être pas repris.

ΠΑ'. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
διέδραμεν[1] μῦς · ὁ δὲ λέων ἐθυμώθη ·
φρίξας δὲ χαίτην ἔθορε[2] φωλάδος κοίλης.

81. LE LION ET LE RENARD.

Un lion dormait; une souris passa en trottant sur sa sauvage crinière. Aussitôt le lion est transporté de courroux; son poil se hérisse, et d'un bond il s'élance du fond de son antre. Un renard se

ΟΘ'. ΚΑΜΗΛΟΣ.

Δεσπότης πίνων
ἠνάγκαζε κάμηλον ὀρχεῖσθαι
ὑπὸ αὐλοῖς
κυμβάλοις τε χαλκείοις.
Ἡ δὲ εἶπεν·
« Ἐμοὶ γένοιτο βαίνειν
καὶ ἐν ὁδῷ ἄνευ γέλωτος,
μήτι γε
παίζειν ἐν χορῷ. »

79. LE CHAMEAU.

Un maître en buvant
forçait un chameau à danser
aux (au son des) flûtes
et aux cymbales d'-airain.
Et celui-ci dit :
« Puisse-t-il m'arriver de marcher
même sur la route sans *exciter le* rire,
à-plus-forte-raison-de-ne-pas
jouer à la danse ! »

ΠΑ'. ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΚΟΣ.

Κερδώ φησι πιθήκῳ·
« Στήλη ἣν ὁρᾷς, ἐστὶν ἐμοὶ
πατρῴη
καὶ ἔτι παππῴη. »
Πίθηκος εἶπε κερδοῖ·
« Ψεύδου ὡς θέλεις,
οὐκ ἔχουσα
ἔλεγχον
τῆς ἀληθείης. »
[Ἔστι πρὸς ἀνδρὸς
κακοῦ
μὴ φεύγειν ψεῦδος,
καὶ ἐὰν μέλλῃ
λανθάνειν εὐχερῶς
ψευδόμενος.]

80. LE RENARD ET LE SINGE.

Un renard dit à un singe :
« La stèle que tu vois, est à moi
paternelle (est celle de mon père),
et même de-*mon*-grand-père. »
Le singe dit au renard :
« Mens comme tu veux,
n'ayant pas *à craindre*
la démonstration
de la vérité. »
[C'est *le propre* d'un homme
malhonnête
de ne pas fuir le mensonge,
même lorsqu'il doit
être-caché facilement
disant-des-mensonges.]

ΠΑ'. ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ.

Μῦς διέδραμεν
ἀγρίης χαίτης
λέοντος κοιμωμένου.
Ὁ δὲ λέων ἐθυμώθη,
καὶ φρίξας χαίτην
ἔθορε

81. LE LION ET LE RENARD.

Une souris passa-en-courant
sur la sauvage crinière
d'un lion dormant.
Et le lion se-mit-en-colère,
et ayant hérissé *sa* crinière,
il s'élança

Κερδὼ δ' ἐπεγλεύαζεν ὡς ἐκινήθη
πρὸς μῦν ὁ πάντων θηρίων τυραννεύων.
Ὁ δ', « Οὐχὶ τὸν μῦν, » εἶπεν, « ὦ παλαμναίη,
δέδοικα, μή μου τὴν δορὴν κνίσῃ φεύγων·
κακὴν δὲ μελέτην ἐπ' ἐμὲ τῆς ὁδοῦ τρίβει[3]. »
[Ἀρχόμενον ἄρτι τὸ θρασὺ τῶν ὑβριζόντων,
κἂν μικρὸν ᾖ, κώλυε, μηδὲ συγχώρει
εὐκαταφρόνητον σαυτὸν εἶναι τοῖς φαύλοις.]

mit à rire de le voir si ému pour une souris, lui le roi des animaux : « Je ne crains pas, maraud, lui dit le lion, qu'elle m'égratigne en se sauvant; mais je la trouve bien insolente d'oser venir se promener sur moi. »

Réprime tout d'abord une impertinente familiarité, fût-elle sans conséquence, et ne souffre pas qu'un homme de rien oublie trop facilement les égards qu'il te doit.

ΠΒ'. ΙΠΠΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Κριθάς τις ἵππου πᾶσαν ἡμέρην πίνων[1],
ἔτριβεν, ἐκτένιζεν ἡμέρῃ πάσῃ.
Ὁ δ' εἶπεν· « Εἰ θέλεις με ταῖς ἀληθείαις[2]
καλὸν γενέσθαι, τὸ τρέφον με μὴ πώλει. »

82. LE CHEVAL ET L'HOMME.

Un homme vendait chaque jour pour boire l'orge de son cheval, et chaque jour il l'étrillait et le peignait à outrance. Le cheval lui dit : « Si tu veux vraiment que je sois beau, ne vends pas ma nourriture. »

ΠΓ'. ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.

Κώνωψ ἐπιστὰς κέρατι καμπύλῳ ταύρου,
μικρόν τ' ἐπισχών, εἶπε ταῦτα βομβήσας·

83. LE MOUCHERON ET LE TAUREAU.

Un moucheron vint se poser sur la corne recourbée d'un taureau; il s'y arrêta quelque temps, puis en bourdonnant il dit : « Si mon

κοίλης φωλάδος.
Κερδὼ δὲ ἐπεχλεύαζεν
ὡς ἐκινήθη
πρὸς μῦν
ὁ τυραννεύων
πάντων τῶν θηρίων.
Ὁ δὲ εἶπεν·
« Ὦ παλαμναίη,
οὐχὶ δέδοικα τὸν μῦν,
μὴ κνίσῃ φεύγων
τὴν δορήν μου·
τρίβει δὲ κακὴν μελέτην
ὁδοῦ ἐπὶ ἐμέ. »
[Κώλυε ἄρτι ἀρχόμενον
τὸ θρασὺ τῶν ὑβριζόντων,
καὶ ἐὰν ᾖ μικρόν,
μηδὲ συγχώρει
σαυτὸν εἶναι τοῖς φαύλοις
εὐκαταφρόνητον.]

hors de *sa* profonde tanière.
Et un renard se moquait
de ce qu'il s'était ému
contre une souris
lui qui était-le-roi
de tous les animaux.
Mais celui-ci *lui* dit :
« O démon-importun,
je ne crains point la souris,
qu'elle n'égratigne en fuyant
la peau de moi ;
mais elle exerce un insolent manége
de promenade sur moi. »
[Réprime d'abord dans-son-prin-[cipe
l'audace de ceux qui sont-insolents,
même lorsque elle est peu-de-chose,
et ne permets pas
que tu sois pour les hommes-de-rien
un objet-de-facile-mépris.]

ΠΒ'. ΙΠΠΟΣ ΚΑΙ ΑΝΘΡΩΠΟΣ.

Πίνων τις
πᾶσαν ἡμέρην
κριθὰς ἵππου,
ἔτριβεν, ἐκτένιζε πάσῃ ἡμέρῃ.
Ὁ δὲ εἶπεν·
« Εἰ θέλεις ταῖς ἀληθείαις
γενέσθαι με καλόν,
μὴ πώλει τὸ τρέφον με. »

82. LE CHEVAL ET L'HOMME.

Quelqu'un buvant (dissipant)
chaque jour
l'orge d'un cheval,
*l'*étrillait, *le* peignait chaque jour.
Et celui-ci (le cheval) *lui* dit :
« Si tu veux en réalité
que je sois beau,
ne vends pas ce qui me nourrit. »

ΠΓ'. ΚΩΝΩΨ ΚΑΙ ΤΑΥΡΟΣ.

Κώνωψ ἐπιστὰς
κέρατι καμπύλῳ ταύρου,
ἐπισχών τε μικρόν,
εἶπε ταῦτα βομβήσας·

83. LE MOUCHERON ET LE TAUREAU.

Un moucheron s'étant posé
sur la corne recourbée d'un taureau,
et s'étant arrêté un-instant,
dit cela en bourdonnant :

« Εἴ σου βαρύνω τὸν τένοντα καὶ κλίνω,
καθεδοῦμ' ἀπελθὼν ποταμίας ἐπ' αἰγείρου. »
Ὁ δ', « Οὐ μέλει μοι, » φησίν, « οὔτ' ἐὰν μείνῃς,
οὔτ' ἂν ἀπέλθῃς· οὐδ' ὅτ' ἦλθες ἐγνώκειν. »
[Γελοῖος ὅστις, οὐδὲν ὤν, κατ' ἀνθρώπων
τῶν κρεισσόνων θρασύνεθ', ὥς τις[1] ὢν σφόδρα.]

poids fait fléchir ta tête, j'irai m'asseoir sur un des peupliers de la rivière. — Peu m'importe, répliqua le taureau, que tu restes ou que tu t'en ailles; je ne t'ai pas seulement senti venir. »

Un homme de rien, qui fait l'arrogant avec de plus puissants que lui, comme s'il était quelque chose, est bien ridicule.

ΠΔ'. ΚΥΝΕΣ ΚΑΙ ΛΥΚΟΙ.

Κυσίν ποτ' ἔχθρα καὶ λύκοις συνειστήκει.
Κύων δ' Ἀχαιὸς[1] ἡρέθη κυνῶν δήμου
στρατηγὸς εἶναι. Καὶ μάχης ἐπιστήμων
ἔμελλεν, ἐβράδυνεν. Οἱ δ' ἐπηπείλουν,
εἰ μὴ προάξει τὴν μάχην τε συστήσει.
Ἀκούσατ', » εἶπεν, « οὗ χάριν διατρίβω,
τί δ' εὐλαβοῦμαι· χρὴ δ' ἀεὶ προβουλεύειν.
Τῶν πολεμίων μὲν τὸ γένος ὧν ὁρῶ πάντων
ἕν ἐστιν· ἡμῶν δ' ἦλθον οἱ μὲν ἐκ Κρήτης[2],
οἱ δ' ἐκ Μολοσσῶν εἰσιν, οἱ δ' Ἀκαρνάνων,
ἄλλοι δὲ Δόλοπες, οἱ δὲ Κύπρον ἢ Θράκην

84. LES CHIENS ET LES LOUPS.

Les chiens et les loups étaient en grande inimitié. Un chien d'Achaïe fut élu général d'armée de la nation canine. En savant capitaine, il temporisait, attendait l'occasion; ses soldats menaçaient de le maltraiter, s'il ne les conduisait hors du camp et n'engageait le combat: « Écoutez, leur dit-il, pourquoi je diffère ainsi et use de prudence. La prévoyance est bonne en toutes choses. Je vois que tous nos ennemis ne forment qu'un seul peuple; mais les nôtres arrivent les uns de la Crète, ceux-ci du pays des Molosses, les autres

« Εἰ βαρύνω τὸν τένοντά σου,
καὶ κλίνω,
καθεδοῦμαι ἀπελθὼν
ἐπὶ αἰγείρου
ποταμίας. »
Ὁ δέ φησιν·
« Οὐ μέλει μοι, οὔτε ἐὰν μείνῃς,
οὔτε ἂν ἀπέλθῃς·
οὐδὲ ἔγνωκειν
ὅτε ἦλθες. »
[Ὅστις, ὢν οὐδέν,
θρασύνεται
κατὰ ἀνθρώπων τῶν κρεισσόνων,
ὡς ὤν τις,
σφόδρα γελοῖος.]

« Si je pèse sur ta nuque,
et que je *la* fasse-fléchir,
je m'asseoirai étant parti
sur un peuplier
fluvial (près du fleuve). »
Mais celui-ci *lui* dit :
« Il n'importe à moi, ni si tu restes,
ni si tu t'en vas ;
et je ne m'étais pas même aperçu
lorsque tu es venu. »
[Quiconque, n'étant rien,
se-montre-arrogant
envers les hommes plus puissants,
comme s'il était quelqu'un *d'impor-* [*tance,*
est bien ridicule.]

ΠΔ'. ΚΥΝΕΣ ΚΑΙ ΛΥΚΟΙ.

Κυσὶ καὶ λύκοις
συνειστήκει ποτὲ ἔχθρα.
Κύων δὲ Ἀχαιὸς ἡρέθη
εἶναι στρατηγὸς δήμου κυνῶν.
Καὶ ἐπιστήμων μάχης
ἔμελλεν, ἐβράδυνεν.
Οἱ δὲ ἐπηπείλουν,
εἰ μὴ προάξει,
συστήσει τε τὴν μάχην.
« Ἀκούσατε, εἶπε,
χάριν οὗ διατρίβω,
τί δὲ
εὐλαβοῦμαι·
χρὴ δὲ προβουλεύειν ἀεί.
Τὸ γένος μὲν
πάντων τῶν πολεμίων ὧν ὁρῶ,
ἐστὶν ἕν·
ἡμῶν δὲ οἱ μὲν
ἦλθον ἐκ Κρήτης,
οἱ δέ εἰσιν ἐκ Μολοσσῶν,
οἱ δὲ Ἀκαρνάνων,

84. LES CHIENS ET LES LOUPS.

Entre les chiens et les loups
s'était établi un-jour inimitié.
Et un chien Achéen fut élu [chiens.
pour être général du peuple des
Et ayant-la-science du combat,
il différait, il temporisait.
Mais ceux-ci menaçaient,
s'il ne *les* conduisait-dehors,
et engageait le combat.
« Écoutez, *leur* dit-il,
à-cause de quoi je traîne-en-longueur,
et pourquoi
j'agis-avec-circonspection ;
or il faut délibérer-d'avance toujours.
La race
de tous les ennemis que je vois,
est une (formée d'un seul peuple) ;
mais (tandis que) de nous les uns
sont venus de la Crète,
les autres sont *du pays* des Molosses,
ceux-ci des Acarnaniens ;

αὐχοῦσιν· ἄλλοι δ' ἄλλοθεν. Τί μηχύνω;
τὸ χρῶμα δ' ἡμῖν οὐχ ἕν ἐστιν ὡς τούτοις,
ἀλλ' οἱ μὲν ἡμῶν μέλανες, οἱ δὲ τεφρώδεις,
ἔνιοι δὲ λαμπροὶ καὶ διάργεμοι στήθη,
ἄλλοι δὲ λευκοί. Πῶς ἂν οὖν δυνηθείην
εἰς πόλεμον ἄρχειν, » εἶπε, « τῶν ἀσυμφώνων[3]
πρὸς τοὺς ὅμοια πάντ' ἔχοντας ἀλλήλοις; »
[Συμφωνία μέγιστον ἀγαθὸν ἀνθρώποις·
τὸ δὲ στασιάζον ἀσθενές τε καὶ δοῦλον.]

de l'Acarnanie, certains sont Dolopes, d'autres se font gloire de venir de Cypre ou de Thrace, d'autres d'ailleurs. Bref, nous n'avons pas non plus, comme eux, une robe de couleur uniforme : plusieurs sont noirs, plusieurs cendrés, quelques-uns roux avec des taches blanches à la poitrine, d'autres sont entièrement blancs. Comment pourrais-je, dit-il, mener au combat des troupes si mêlées, contre une armée où tout s'accorde si bien? »

L'harmonie procure aux hommes les plus grands avantages; la division les rend faibles et esclaves.

ΠΕ'. ΑΛΩΠΗΞ ΟΓΚΩΘΕΙΣΑ.

Κοίλωμα ῥίζης φηγὸς εἶχεν ἀρχαίη.
Ἐν τῇδ' ἔκειτο ῥωγὰς αἰπόλου πήρη,
ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.
Ταύτην ἀλώπηξ εἰσδραμοῦσα τὴν πήρην,
ἐξέφαγε· γαστὴρ δ', ὥσπερ εἰκός, ὠγκώθη,
στενῆς δὲ τρώγλης οὐκέτ' εἶχεν ἐκδῦναι.
Ἑτέρη δ' ἀλώπηξ, ὡς ἐπῆλθε κλαιούσῃ,

85. LE RENARD GOURMAND.

Un vieux chêne était creux à sa racine. Un chevrier y avait déposé sa besace trouée, pleine de pain moisi et de viande. Certain renard entra dans l'arbre, et vida la besace; son ventre s'arrondit, comme on le peut bien croire, et il ne pouvait plus passer par l'étroite ouverture. Un autre renard, qui l'entendit pleurer, vint à lui, et d'un ton rail-

ἄλλοι δὲ Δόλοπες,
οἱ δὲ αὐχοῦσι
Κύπρον ἢ Θράϊκην·
ἄλλοι δὲ ἄλλοθεν.
Τί μηκύνω;
τὸ χρῶμα δὲ οὐκ ἔστιν
ἓν ἡμῖν ὡς τούτοις,
ἀλλὰ οἱ μὲν ἡμῶν μέλανες,
οἱ δὲ τεφρώδεις, ἔνιοι δὲ λαμπροὶ
καὶ διάργεμοι στήθη,
ἄλλοι δὲ λευκοί.
Πῶς οὖν, εἶπε,
δυνηθείην ἂν ἄρχειν
τῶν ἀσυμφώνων εἰς πόλεμον
πρὸς τοὺς ἔχοντας
πάντα ὅμοια ἀλλήλοις; »
[Συμφωνία ἀνθρώποις
μέγιστον ἀγαθόν·
τὸ δὲ στασιάζον
ἀσθενές τε καὶ δοῦλον.]

d'autres *sont* des Dolopes:
ceux-ci vantent *comme leur patrie*
la Cypre ou la Thrace;
d'autres *enfin sont* d'ailleurs.
Pourquoi ferais-je-de-longs-discours?
la couleur même n'est pas
uniforme à nous, comme à ceux-ci:
mais les uns de nous *sont* noirs,
d'autres cendrés, quelques-uns roux
et tachetés-de-blanc *aux* poitrines,
d'autres *encore* blancs.
Comment donc, dit-il,
pourrais-je conduire-en-chef
ces *troupes* discordantes à la guerre
contre ceux qui ont [(au combat)
tout pareil entr'eux? »
[La concorde *est* pour les hommes
le plus grand bien;
et la discorde
est et faible et esclave.]

ΠΕ'. ΑΛΩΠΗΞ ΟΓΚΩΘΕΙΣΑ.

85. LE RENARD ENFLÉ.

Φηγὸς ἀρχαίη
εἶχε κοίλωμα ῥίζης.
Ἐν τῇδε ἔκειτο
πήρη ῥωγὰς αἰπόλου
πᾶσα πλήρης
ἄρτων ἑώλων καὶ κρεῶν.
Ἀλώπηξ εἰσδραμοῦσα
ἐξέφαγε ταύτην τὴν πήρην·
γαστὴρ δέ, ὥσπερ εἰκός,
ὠγκώθη,
εἶχε δὲ οὐκέτι
ἐκδῦναι τρώγλης στενῆς.
Ἑτέρη δὲ ἀλώπηξ,
ὡς ἐπῆλθε
κλαιούσῃ,
εἶπε σκώπτουσα·

Un chêne antique
avait un creux de (à) la racine.
Et dans celle-ci gisait
la panetière trouée d'un chevrier
toute pleine
de pain moisi et de viandes.
Un renard s'étant élancé-dedans,
vida-en-entier cette panetière;
et *son* ventre, comme de-raison,
en fut enflé, [plus)
et il n'avait plus *moyen* (ne pouvait
de sortir du trou étroit.
Or, un autre renard,
lorsqu'il se fut approché
de *lui* pleurant,
lui dit en *le* raillant:

σκώπτουσα, « Μεῖνον, » εἶπεν, « ἄχρι πεινήσῃς·
οὐκ ἐξελεύσῃ πρότερον ἄχρι τοιαύτην
τὴν γαστέρα σχῇς, ἡλίκην ὅτ' εἰσήεις. »

leur : « Attends, lui dit-il, que la faim revienne; tu ne sortiras plus qu'avec le ventre que tu avais quand tu es entré. »

ΠΣ'. ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.

Κύων λαγωὸν ἐξ ὄρους ἀναστήσας
ἐδίωκε δάκνων αὐτόν, εἰ κατειλήφει,
μεταστραφεὶς δ' ἔσαινεν ὡς φίλῳ ψαύων.
Ὁ λαγωός « Ἁπλοῦν » δ' εἶπε, « θηρίον γίνου.
Φίλος εἶ; τί δάκνεις; ἐχθρὸς εἶ; τί οὖν σαίνεις;
Ἀμφίβολος οὗτος ἐστὶ νοῦς ἐν ἀνθρώποις,
οἷς οὔτ' ἀπιστεῖν ἔχομεν, οὔτε πιστεύειν.

86. LE CHIEN ET LE LIÈVRE.

Un chien fit partir un lièvre sur une montagne; il le poursuivait, et le mordait quand il le joignait, puis se ravisant il le flattait et le caressait en ami. Le lièvre lui dit : « Sois franc. Es-tu mon ami? pourquoi me mords-tu? Es-tu mon ennemi? pourquoi me flattes-tu? »

On rencontre chez les hommes de ces caractères doubles, qui vous laissent entre la défiance et la confiance.

ΠΖ'. ΚΟΡΥΔΑΛΟΣ ΚΑΙ ΝΕΟΣΣΟΙ.

Κορυδαλὸς ἦν τις ἐν χλόῃ νεοσσεύων,
[τῷ χαραδριῷ πρὸς τὸν ὄρθρον ἀντᾴδων.]
Καὶ παιδὰς εἶχε ληίου κόμῃ[1] θρέψας
λοφῶντας ἤδη καὶ πτεροῖσιν ἀκμαίους.

87. L'ALOUETTE ET SES PETITS.

Une alouette avait sa nichée dans un champ de blé vert; ses petits, biens repus de grains, étaient déjà drus et huppés. Le maître vint

« Μεῖνον, ἄχρι πεινήσῃς·
οὐκ ἐξελεύσῃ πρότερον,
ἄχρι σχῇς
τὴν γαστέρα τοιαύτην ἡλίκην
ὅτε εἰσήεις. »

« Attends, jusqu'à-ce-que tu aies-
tu ne sortiras pas auparavant, [faim :
jusqu'à-ce-que tu aies
le ventre tel que *tu l'avais*
lorsque tu *y* entras. »

ΠΣ'. ΚΥΩΝ ΚΑΙ ΛΑΓΩΟΣ.

Κύων ἀναστήσας
ἐξ ὄρους λαγωὸν
ἐδίωκεν αὐτὸν δάκνων,
εἰ κατειλήφει·
μεταστραφεὶς δὲ
ἔσαινεν ὡς φίλῳ
ψαύων.
Ὁ λαγωὸς δὲ εἶπε·
« Γίνου θηρίον ἁπλοῦν.
Εἶ φίλος; τί δάκνεις;
εἶ ἐχθρός;
τί οὖν σαίνεις; »
Ἀμφίβολός ἐστιν οὗτος νοῦς
ἐν ἀνθρώποις,
οἷς ἔχομεν
οὔτε ἀπιστεῖν,
οὔτε πιστεύειν.

86. LE CHIEN ET LE LIÈVRE.

Un chien ayant lancé
d'une montagne un lièvre,
le poursuivait en *le* mordant,
quand il *l'*attrapait;
et *puis* ayant changé-de-manières,
il *le* flattait comme un ami,
en *le* touchant (en le caressant).
Et le lièvre *lui* dit :
« Sois un animal franc.
Es-tu ami? pourquoi *me* mords-tu?
es-tu ennemi?
pourquoi donc *me* flattes-tu? »
Équivoque est cet esprit
dans les hommes,
pour lesquels nous *ne* savons
ni *s'il faut* avoir-de-la-méfiance,
ni *s'il faut* avoir-de-la-confiance.

ΠΖ'. ΚΟΡΥΔΑΛΟΣ ΚΑΙ ΝΕΟΣΣΟΙ.

Ἦν τις κορυδαλὸς
νεοσσεύων
ἐν χλόῃ.
Καὶ εἶχε παῖδας
ἤδη λοφῶντας
καὶ ἀκμαίους πτεροῖσι,
θρέψας κόμῃ
λητου.
Ὁ δὲ δεσπότης τῆς ἀρούρης

87. L'ALOUETTE-HUPPÉE ET SES PETITS.

Il y avait une alouette-huppée
faisant-sa-couvée
dans un blé-vert :
et elle avait des petits
déjà huppés
et en-force par *leurs* ailes,
les ayant nourris avec l'épi
de la moisson.
Et le maître du champ

Ὁ δὲ τῆς ἀρούρης δεσπότης, ἐποπτεύων,
ὡς ξηρὸν εἶδε τὸ θέρος, εἶπε· « Νῦν ὥρη
πάντας λαβεῖν μοι τοὺς φίλους, ἵν' ἀμήσω. »
Καί τις κορυδαλοῦ τῶν λοφηφόρων παίδων
ἤκουεν αὐτοῦ, τῷ τε πατρὶ μηνύει,
σκοπεῖν κελεύων ποῦ σφέας μεταστήσει.
Ὁ δ' εἶπεν· « Οὔπω καιρός ἐστι νῦν φεύγειν·
ὃς γὰρ φίλοις πέποιθεν, οὐκ ἄγαν σπεύδει. »
Ὡς δ' αὖτις ἐλθών, ἡλίου θ' ὑπ' ἀκτίνων
ἤδη ῥέοντα[2] τὸν στάχυν θεωρήσας,
μισθὸν μὲν ἀμητῆρσιν αὔριον πέμψειν,
μισθὸν δὲ πᾶσι δραγματηφόροις δώσειν
εἶπεν, κορυδαλός φησι νηπίοις· « Ὄντως
νῦν ἐστιν ὥρη, παῖδες, ἀλλαχοῦ φεύγειν,
ὅτ' αὐτὸς αὑτῷ, κοὐ φίλοισι, πιστεύει. »

visiter ses blés, et voyant qu'ils étaient mûrs : « Il est temps, dit-il, que je rassemble mes amis pour faire la moisson. » Un des petits de l'alouette l'entendit et le redit à sa mère, la priant de leur trouver un autre gîte. L'alouette répondit : « Rien ne nous presse encore de fuir ; celui qui compte sur ses amis n'a pas trop de hâte. » L'homme revint, et voyant que le soleil faisait déjà couler ses épis, il dit qu'il allait dès le lendemain payer des moissonneurs et des lieurs de gerbes. L'alouette alors : « C'est ce coup, mes enfants, qu'il faut déloger, puisque le maître ne se fie plus qu'à lui et non à ses amis. »

ΠΗ'. ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.

Λύκος ποτ' ἄρνα πεπλανημένον ποίμνης
ἰδών, βίῃ μὲν οὐκ ἐπῆλθεν ἁρπάξων[1],

88. LE LOUP ET L'AGNEAU.

Un loup, voyant un jour un agneau qui s'était égaré, ne voulut point l'enlever de force, mais cherchait un prétexte spécieux et l'ac-

ἐποπτεύων,
ὡς εἶδε τὸ θέρος ξηρόν,
εἶπε·
« Νῦν ὥρη μοι
λαβεῖν πάντας τοὺς φίλους,
ἵνα ἀμήσω. »
Καί τις παίδων τῶν λοφηφόρων
κορυδαλοῦ
ἤκουεν αὐτοῦ, μηνύει τε τῷ πατρί,
κελεύων σκοπεῖν
ποῦ μεταστήσει σφέας.
Ὁ δὲ εἶπεν·
« Οὔπω ἐστὶ καιρὸς
νῦν φεύγειν·
ὃς γὰρ πέποιθε φίλοις,
οὐ σπεύδει ἄγαν. »
Ὡς δὲ ἐλθὼν αὖτις,
θεωρήσας τε τὸν στάχυν
ἤδη ῥέοντα
ὑπὸ ἀκτίνων ἡλίου,
εἶπε
πέμψειν αὔριον
μισθὸν μὲν ἀμητῆρσι,
δώσειν δὲ μισθὸν
πᾶσι δραγματηφόροις,
κορυδαλός φησι
νηπίοις·
« Νῦν, παῖδες,
ἔστιν ὄντως ὥρη
φεύγειν ἀλλαχοῦ,
ὅτε πιστεύει αὐτὸς αὑτῷ,
καὶ οὐ φίλοισι. »

le visitant,
lorsqu'il vit la moisson sèche (jaune),
dit :
« Maintenant *il est* temps pour moi
de prendre tous les amis,
afin que je moissonne. »
Et un des petits portant-aigrette
de l'alouette-huppée
entendait lui, et il *l'*indique au père,
*l'*engageant à aviser
où il transportera eux.
Mais celui-ci dit :
« Il n'est pas encore temps
maintenant de fuir :
car celui qui se fie en des amis,
n'a pas hâte grandement. »
Mais lorsqu'étant venu de-nouveau,
et ayant vu l'épi
déjà coulant
sous *l'influence* des rayons du soleil,
il annonça
qu'il enverrait le-lendemain
le salaire aux moissonneurs,
et qu'il donnerait le salaire
à tous les porteurs-de-gerbes,
alors l'alouette-huppée dit
à *ses* petits :
« Maintenant, enfants,
il est réellement temps
de fuir quelque-part-ailleurs,
lorsqu'il se fie lui-même à-lui-même,
et non à des amis. »

ΠΗ'. ΛΥΚΟΣ ΚΑΙ ΑΡΝΙΟΝ.

Λύκος ἰδών ποτε
ἄρνα πεπλανημένον ποίμνης,
οὐκ ἐπῆλθε μὲν
ἁρπάξων βίῃ,

88. LE LOUP ET L'AGNELET.

Un loup ayant vu un-jour
un agneau égaré du troupeau,
ne fondit-*point*-sur *lui*
pour *l'*enlever de force,

ἔγκλημα δ' ἔχθρης εὐπρόσωπον ἐζήτει.
« Οὐ σύ μέ τι πέρυσι μικρὸς ὢν ἐβλασφήμεις; »
« Ἐγὼ οὐ σὲ πέρυσιν[2], ὃς γ' ἐπ' ἔτος[3] ἐγεννήθην. »
« Οὔκουν σὺ τὴν ἄρουραν ἣν ἔχω κείρεις; »
« Οὔπω τι χλωρὸν ἔφαγον, οὐδ' ἐβοσκήθην. »
« Οὐδ' ἄρα πηγὴν ἐκπέπωκας ἣν πίνω; »
« Θηλὴ μεθύσκει μέχρι νῦν με μητρῴη. »
Τότε δὴ τὸν ἄρνα συλλαβών τε καὶ τρώγων,
« Ἀλλ' οὐκ ἄδειπνον, » εἶπε, « τὸν λύκον θήσεις,
κἂν εὐχερῶς μου πᾶσαν αἰτίην λύσῃς. »

cusait d'être son ennemi : « Pourquoi, misérable petit être, médisais-tu de moi l'an passé ? — L'an dernier ! je suis de cette année. — Ne broutes-tu pas mon herbe ? — Je n'ai pas encore mangé de vert. — N'as-tu pas tari la source où je me désaltère ? — Jusqu'à présent, je n'ai encore fait que teter ma mère. » Alors, le loup se jetant sur l'agneau et le mangeant, « Le loup, dit-il, ne se passera pas de souper pour toi, malgré toute ton adresse à te justifier. »

ΠΘ'. ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.

Λέων ἐλύσσα. Τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· « Ἡμέων ταλαιπώρων[1].
τί γὰρ μεμηνὼς οὗτος οὐχὶ ποιήσει,
ὃς ἦν φορητὸς οὐδε σωφρονῶν[2] ἡμῖν; »

89. LE LION ET LE FAON.

Un lion était en fureur ; un faon, qui le vit depuis la forêt, s'écria : « Malheureux que nous sommes ! Que ne nous fera-t-il pas dans sa rage, lui déjà si redoutable, alors même qu'il est calme ? »

Ϟ'. ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.

Λέοντα φεύγων ταῦρος εἰς ἐρημαίην[1]
σπήλυγγα κατέδυ ποιμένων ὀρειφοίτων,

90. LE TAUREAU ET LE BOUC.

Un taureau, qui fuyait devant un lion, entra dans une caverne déserte, qui servait d'abri aux pâtres de la montagne ; un bouc y

ἐζήτει δὲ ἔγκλημα εὐπρόσωπον
ἔχθρης.
« Οὔ τι σύ, ὢν μικρός,
ἐβλασφήμεις με
πέρυσιν ; »
« Ἐγὼ οὐ σὲ πέρυσιν,
ὅς γε ἐγεννήθην ἐπὶ ἔτος. »
« Οὔκουν σὺ κείρεις
τὴν ἄρουραν ἣν ἔχω ; »
« Οὔπω ἔφαγον οὐδὲ ἐβοσκήθην
χλωρόν τι. »
« Οὐδὲ ἄρα ἐκπέπωκας
πηγὴν ἣν πίνω ; »
« Μέχρι νῦν
θηλὴ μητρῴη
μεθύσκει με. »
Τότε δὴ συλλαβὼν ἄρνα
καὶ τρώγων, εἶπεν·
« Ἀλλὰ οὐ θήσεις τὸν λύκον
ἄδειπνον,
καὶ ἐὰν λύσῃς
εὐχερῶς πᾶσαν αἰτίην μου. »

mais il cherchait un grief spécieux
d'hostilité (pour le traiter en ennemi).
« N'est-ce pas toi, qui, étant petit,
médisais de moi
l'an-dernier ? [nier,
— Je ne *médisais* pas de toi l'an-der-
moi qui suis né cette année.
— Eh bien donc, ne tonds-tu pas
le champ que je possède ?
— Je n'ai encore mangé ni brouté
quelque-chose de vert.
— Et tu n'as donc aussi pas bu
la fontaine que (de laquelle) je bois ?
— Jusqu'à-présent
la mamelle maternelle
m'enivre (m'abreuve). »
Alors ayant saisi l'agneau
et *le* croquant, il dit :
« Mais tu ne rendras pas le loup
manquant-de-souper,
même si tu dissous (détruis)
facilement toute accusation de moi. »

ΠΘ'. ΛΕΩΝ ΚΑΙ ΝΕΒΡΟΣ.

Λέων ἐλύσσα.
Τὸν δὲ νεβρὸς ἰδὼν
ἐξ ὕλης, ἔφησεν·
« Ἡμέων ταλαιπώρων
τί γὰρ οὐχὶ ποιήσει,
οὗτος μεμηνώς,
ὃς ἦν φορητὸς ἡμῖν
οὐδὲ σωφρονῶν ; »

89. LE LION ET LE FAON.

Un lion était-dans-la-rage.
Et un faon l'ayant vu
de la forêt, dit :
« *Ah !* nous malheureux !
que ne fera point, en effet,
celui-ci étant-enragé,
lui qui *n'*était supportable pour nous
pas-même étant-dans-son-bon-sens? »

Ϟ'. ΤΑΥΡΟΣ ΚΑΙ ΤΡΑΓΟΣ.

Ταῦρος φεύγων λέοντα
κατέδυ εἰς σπήλυγγα ἐρημαίην
ποιμένων ὀρειφοίτων,
ὅπου τράγος τις,

90. LE TAUREAU ET LE BOUC.

Un taureau fuyant *devant* un lion,
entra dans une caverne déserte
de pâtres errants-sur-les-montagnes,
où un bouc,

ὅπου τράγος τις, χωρὶς αἰπόλου μείνας,
ἐμβάντα ταῦρον τοῖς κέρασιν ἐξώθει.
Ὁ δ' εἶπεν· « Οὐ σέ, τὸν λέοντα δ' ἐκκλίνω.
Ἀνέξομαί σου μικρὰ τῆς ἐπηρείης·
ἐπεὶ παρελθέτω με, καὶ τότε γνώσῃ
πόσον τράγου μεταξὺ καὶ πόσον² ταύρου. »

était resté loin de l'œil du chevrier, et essayait de chasser le taureau à coups de cornes. Celui-ci lui dit : « Ce n'est pas toi que je redoute, mais le lion. Je veux bien supporter quelque temps tes outrages; mais dès que le lion sera loin d'ici, je te ferai voir quelle différence il y a entre un bouc et un taureau. »

ϟΑ'. ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.

Λέοντά τις κυνηγὸς οὐχὶ τολμήεις
ἴχνευεν ὀρέων ἐν βαθυσκίοις ὕλαις·
δρυτόμῳ δὲ μακρῆς ἐγγὺς ἐντυχὼν πεύκης,
« Ὦ πρός σε νυμφῶν, » εἶπεν, « ἆρα γινώσκεις
ἴχνη λέοντος, ὅστις ὧδε φωλεύει; »
Κἀκεῖνος εἶπεν· « Ἀλλὰ σὺν θεῷ βαίνεις·
αὐτὸν γὰρ ἤδη τὸν λέοντά σοι δείξω. »
Ὁ δ' ὠχριάσας, γομφίους τε συγχρούων,

91. LE CHASSEUR POLTRON.

Un chasseur peu brave suivait la piste d'un lion à travers les forêts épaisses de la montagne; il rencontra un bûcheron près d'un grand sapin : « Au nom des nymphes, lui dit-il, peux-tu me montrer les erres du lion qui habite par ici? » Le bûcheron répondit : « Tu es sur la bonne voie; je vais à l'instant te faire voir le lion lui-même. » L'autre pâlit, claqua des dents et dit : « Ne sois pas plus obligeant

μείνας
χωρὶς αἰπόλου,
ἐξώθει τοῖς κέρασι
ταῦρον ἐμβάντα.
Ὁ δὲ εἶπεν·
« Οὐ σὲ ἐκκλίνω,
τὸν δὲ λέοντα.
Ἀνέξομαι μικρὰ
τῆς ἐπηρείης σου·
ἐπεὶ παρελθέτω με,
καὶ τότε γνώσῃ
πόσον
μεταξὺ τράγου
καὶ πόσον ταύρου. »

qui *y* était resté
loin *de l'œil* du chevrier,
poussait-dehors avec *ses* cornes
le taureau entré.
Et celui-ci *lui* dit :
« *Ce n'est* pas toi *que* j'évite,
mais le lion.
Je supporterai un-instant
les insultes de toi :
car, qu'il (le lion) me passe,
et alors tu apprendras,
combien
il y a d'intervalle-entre le bouc,
et combien entre le taureau. »

ϞΑ'. ΚΥΝΗΓΟΣ ΔΕΙΛΟΣ.

91. LE CHASSEUR POLTRON.

Κυνηγός τις
οὐχὶ τολμήεις
ἴχνευε λέοντα
ἐν ὕλαις βαθυσκίοις
ὀρέων·
ἐντυχὼν δὲ
δρυτόμῳ
ἐγγὺς μακρῆς πεύκης,
« Ὦ σε πρὸς νυμφῶν,
εἶπεν,
ἆρα γινώσκεις
ἴχνη λέοντος,
ὅστις φωλεύει ὧδε; »
Καὶ ἐκεῖνος εἶπεν·
« Ἀλλὰ βαίνεις
σὺν θεῷ·
δείξω γάρ σοι ἤδη
τὸν λέοντα αὐτόν. »
Ὁ δὲ
ὠχριάσας
συγχρούων τε γομφίους,

Certain chasseur
point hardi
suivait-à-la-piste un lion
dans les bois à-ombre-épaisse
des montagnes :
et ayant-fait-rencontre
d'un bûcheron
près d'un grand sapin,
« O *je* te *supplie* par les nymphes,
dit-il,
est-ce-que tu connais
les traces du lion,
lequel a-son-gîte ici? »
Et l'autre *lui* dit :
« Mais tu marches
avec dieu :
car je te montrerai même
le lion lui-même. »
Et celui-ci
ayant pâli-*de-frayeur*,
et entrechoquant *ses* molaires,

« **M**ή μοι χαρίζου, » φησί, « πλεῖον οὗ χρῄζω·
τὸ δ' ἴχνος εἰπέ· τὸν λέοντα μὴ δείξῃς. »

que je ne te demande ; indique-moi la trace, et ne me montre pas le lion. »

ϟΒ'. ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Λύκων παρῆσαν ἄγγελοί ποτ' εἰς ποίμνην,
ὅρκους φέροντες καὶ βέβαιον εἰρήνην,
ἐφ' ᾧ[1] λάβωσι τοὺς κύνας πρὸς αἰκίην,
δι' οὓς μάχονται καὶ κοτοῦσιν ἀλλήλοις.
Μωρὴ δὲ ποίμνη καὶ τὰ πάντα βληχώδης[2]
πέμπειν ἔμελλεν. Ἀλλά τις γέρων ἤδη
κριός, βαθείῃ φρικὶ[3] μαλλὸν ὀρθώσας,
« **K**αινῆς γε ταύτης, » εἶπε, « τῆς μεσιτείης·
ἀφύλακτος ὑμῖν πῶς ἐγὼ συνοικήσω,
δι' οὓς νέμεσθαι μηδὲ νῦν ἀκινδύνως
ἔξεστι, καίτοι τῶν κυνῶν με τηρούντων ; »

92. LES LOUPS ET LES BREBIS.

Un jour des députés vinrent de la part des loups trouver un troupeau de brebis, apportant des serments et des gages de paix : ils demandaient en retour qu'on leur abandonnât les chiens ; ils voulaient livrer au supplice ceux qui étaient entre les deux partis une cause de querelles et de combats. Les brebis, bêtes sottes et toujours de peu de cervelle, les allaient remettre en leurs mains. A cette résolution, un vieux bélier sentit un frisson dresser toute sa laine, et dit : « Voici bien un nouvel accommodement ! Comment vivrai-je sans défenseurs avec vous, quand je ne puis maintenant paître en sûreté, même sous la garde des chiens ? »

φησί·
« Μὴ χαρίζου μοι
πλεῖον οὗ χρῄζω·
εἰπὲ δὲ τὸ ἴχνος·
μὴ δείξῃς τὸν λέοντα. »

lui dit :
« Ne me rends-pas-service
plus que je ne demande :
mais indique-*moi* la trace :
ne *me* montre pas le lion. »

ϟΒ′. ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ.

Ἄγγελοί ποτε λύκων
παρῆσαν
εἰς ποίμνην,
φέροντες ὅρκους
καὶ εἰρήνην βέβαιον,
ἐφ' ᾧ λάβωσι
τοὺς κύνας
πρὸς αἰκίην,
διὰ οὓς μάχονται
καὶ κοτέουσιν
ἀλλήλοις.
Ποίμνη μωρὴ δὲ
καὶ βληχώδης τὰ πάντα
ἔμελλε πέμπειν.
Ἀλλά τις κριὸς
ἤδη γέρων,
ὀρθώσας μαλλὸν
φρικὶ βαθείῃ,
εἶπε·
« Καινῆς γε τῆς μεσιτείης
ταύτης·
πῶς ἐγὼ
συνοικήσω ὑμῖν
ἀφύλακτος,
διὰ οὓς
μηδὲ νῦν
ἔξεστι
νέμεσθαι ἀκινδύνως,
καίτοι τῶν κυνῶν με τηρούντων; »

92. LES LOUPS ET LES BREBIS.

Un-jour les ambassadeurs des loups
étaient arrivés
chez un troupeau-de-brebis,
apportant des serments
et une paix garantie,
à-la-condition-qu'ils prendraient
les chiens
pour *les livrer au* supplice,
à cause desquels ils bataillent (batail-
et sont (étaient) irrités [laient)
les-uns-contre-les-autres.
Et le sot troupeau-des-brebis
et stupide en tout
allait *les* envoyer (livrer).
Mais un certain bélier,
déjà vieillard,
ayant dressé *sa* toison
d'un frisson profond,
leur dit :
« *Ah !* la nouvelle transaction
que celle-ci !
comment moi
habiterai-je-avec vous
n'étant-pas-gardé *contre ceux*
à-cause desquels
pas-même à-présent
il *ne m'*est-permis
de paître sans-danger,
quoique les chiens me gardant ? »

ϟΓ'. ΛΥΚΟΣ ΚΑΙ ΕΡΩΔΙΟΣ.

Λύκῳ ποτ' ὀστοῦν φάρυγος[1] ἐντὸς ἠρείσθη·
ἐρῳδιῷ δὲ μισθὸν ἄξιον δώσειν
ἔταξε[2], τὸν τράχηλον εἰ καθιμήσας
ἀνέλκυσειε, καὶ πόνων ἄκος δοίη.
Ὁ δ' ἕλκυσας, τὸν μισθὸν εὐθέως ἤτει.
Κἀκεῖνος αὐτῷ, κάρχαρόν τι[3] μειδήσας,
« Σοὶ μισθὸς ἀρκεῖ, » φησί, « ἀντ' ἰατρείων,
κεφαλὴν λυκείου στόματος ἐξελεῖν σώην. »
[Κακοῖς βοηθῶν μισθὸν ἀγαθὸν οὐ λήψῃ,
ἀλλ' ἀρκέσει σοι μή τι τῶν κακῶν πάσχειν.]

93. LE LOUP ET LE HÉRON.

Un os s'arrêta un jour bien avant dans le gosier d'un loup ; celui-ci promit une honnête récompense à un héron, s'il parvenait, en introduisant son cou, à retirer l'os et à le guérir de ses souffrances. Le héron retire l'os, et demande son salaire. L'autre, avec un sourire méchant : « Qu'il te suffise, lui dit-il, pour prix de ta cure, d'avoir retiré ta tête de la gueule du loup. »

N'attendez point de reconnaissance pour le bien que vous ferez aux méchants ; contentez-vous de n'être pas maltraités.

ϟΔ'. ΛΕΩΝ ΝΟΣΗΣΑΣ.

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο, νωθρὰ γυῖα γῆς ἐφαπλώσας·
φίλην δ' ἀλώπεκ' εἶχεν, ᾗ προσωμίλει.
Ταύτῃ ποτ' εἶπεν· « Εἰ[1] θέλεις με σὺ ζώειν; —
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ' ἀγρίαις πεύκαις

94. LE LION MALADE.

Un lion malade gisait dans un antre formé par un rocher, et reposait sur la terre ses membres défaillants ; il avait pour ami un renard, qui vivait avec lui dans une intime familiarité. Il lui dit un jour : « Veux-tu me sauver la vie ? J'ai grand'faim de la biche qui habite

ϟΓ'. ΛΥΚΟΣ ΚΑΙ ΕΡΩΔΙΟΣ.

Λύκῳ ἠρείσθη ποτὲ
ὀστοῦν ἐντὸς φάρυγος·
ἔταξε δὲ ἐρῳδιῷ
μισθὸν ἄξιον
δώσειν,
εἰ καθιμήσας
τὸν τράχηλον
ἀνελκύσειε, καὶ δοίη
ἄκος πόνων.
Ὁ δὲ ἕλκύσας,
ᾔτει εὐθέως τὸν μισθόν.
Καὶ ἐκεῖνος αὐτῷ φησι,
μειδήσας κάρχαρόν τι·
« Ἀρκεῖ σοι μισθὸς
ἀντ' ἰατρείων,
ἐξελεῖν
ἐκ στόματος λυκείου
κεφαλὴν σώην. »
[Βοηθῶν κακοῖς
οὐ λήψῃ
μισθὸν ἀγαθόν,
ἀλλὰ ἀρκέσει σοι
μὴ πάσχειν
τὶ τῶν κακῶν.]

93. LE LOUP ET LE HÉRON.

A un loup s'enfonça un-jour
un os à l'intérieur du gosier :
et il fixa à un héron
un prix convenable
qu'il donnerait,
si ayant descendu
le cou dans *son gosier*,
il *en* extrayait *l'os*, et lui procurait
la guérison de *ses* douleurs.
Celui-ci *l'*ayant extrait,
demandait aussitôt le salaire.
Et l'autre lui dit,
en ricanant d'une manière-méchante:
« Il te suffit *pour* prix
en-place d'honoraires-de-médecin,
d'avoir retiré
de la gueule du-loup
ta tête saine-et-sauve. »
[En portant-secours à des méchants
tu n'obtiendras pas
une récompense équitable ;
mais il te suffira
de ne pas éprouver
quelqu'un des malheurs.]

ϟΔ'. ΛΕΩΝ ΝΟΣΗΣΑΣ.

Λέων νοσήσας
ἔκειτο ἐν φάραγγι πετραίῃ,
ἐφαπλώσας γῆς
γυῖα νωθρά·
εἶχε δὲ φίλην ἀλώπεκα,
ᾗ προσωμίλει.
Ταύτῃ ποτὲ εἶπεν·
« Εἰ θέλεις σὺ ζῴειν με ; —
πεινῶ γὰρ ἐλάφου
τῆς οἰκούσης ὑπὸ πεύκαις ἀγρίαις

94. LE LION MALADE.

Un lion malade
gisait dans une caverne de-rocher,
ayant étendu sur la terre
ses membres défaillants :
et il avait *pour* ami le renard,
avec lequel il vivait-familièrement.
A celui-ci un-jour il dit :
« Si tu veux que je vive ? —
car j'ai-faim de la biche
qui habite sous les pins sauvages

κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης·
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ' ἰσχύω.
Σὺ δ' ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει,
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις. »
Ἀπῆλθε κερδώ· τὴν δ' ὑπ' ἀγρίαις ὕλαις
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης·
ἔσαινε δ' αὐτὴν[2] πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε, χρηστῶν τ' ἄγγελος λόγων ἥκειν[3].
« Ὁ λέων, » ἔφασκεν, « οἶδας, ἔστι μοι γείτων·
ἔχει δὲ φαύλως, κἠγγύς ἐστι τοῦ θνήσκειν.
Τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει
διεσκοπεῖτο· σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
Ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει.
Γαύρη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζώει[4]·
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς[5] φύει,
δένδροις ὅμοιον, κοὐχ ὁποῖα τῶν ταύρων.
Τί σοι λέγω τὰ πολλά; πλὴν[6] ἐκυρώθης,
μέλλεις τ' ἀνάσσειν θηρίων ὀρειφοίτων.

sous ces pins sauvages, là-bas, dans cette épaisse forêt; mais je ne me sens plus la force de chasser. Si tu le veux, elle viendra tomber sous ma griffe, prise par tes mielleuses paroles. » Le renard partit; il trouva la biche qui bondissait dans la forêt sur le tendre gazon. D'abord, d'un air caressant, il remua la queue; puis il lui donna le bonjour et se dit porteur de bonnes nouvelles: « Le lion, tu le sais, est mon voisin; il est au plus mal, et ne tardera pas à mourir. Tout à l'heure il cherchait qui des animaux pourrait régner après lui: il dit que le sanglier est trop stupide, l'ours trop paresseux, le léopard trop irascible, le tigre trop insolent et trop ami de la solitude. La biche est la plus digne de l'empire: son port est majestueux, elle vit de longues années, et porte, pour la terreur de la gent animale, des cornes dont les rameaux, semblables à des arbres, surpassent de beaucoup celles des taureaux. Que te dirai-je? tu as été choisie pour

ἐκεῖνον τὸν δρυμὸν τὸν ὑλήεντα·
καὶ νῦν οὐκέτι ἰσχύω
διώκειν ἔλαφον·
σὺ δὲ ἂν θελήσῃς,
ἥξει εἰς ἐμὰς χεῖρας,
θηρευθεῖσα σοῖς λόγοις
μελιγλώσσοις. »
Κερδὼ ἀπῆλθε·
τὴν δὲ εὗρεν
ὑπὸ ὕλαις ἀγρίαις
σκιρτῶσαν ὑπὲρ μαλθακῆς ποίης·
πρῶτον δὲ
αὐτὴν ἔσαινεν,
εἶτα καὶ προσεῖπε χαίρειν,
ἥκειν τε
ἄγγελος χρηστῶν λόγων.
« Ὁ λέων, ἔφασκεν,
οἶδας,
ἔστι μοι γείτων·
ἔχει δὲ φαύλως,
καὶ ἐγγύς ἐστι τοῦ θνήσκειν.
Διεσκοπεῖτο οὖν
τίς θηρίων
τυραννήσει μετὰ αὐτόν.
Σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής,
πάρδαλις δὲ θυμώδης,
τίγρις δὲ ἀλαζὼν
καὶ τὸ πᾶν ἐρημαίη.
Κρίνει ἔλαφον
ἀξιωτάτην τυραννεῖν.
Γαύρη μὲν εἶδος,
ζῴει δὲ εἰς πολλὰ ἔτη·
φύει δὲ κέρας
φοβερὸν πᾶσιν ἑρπετοῖς,
ὅμοιον δένδροις,
καὶ οὐχ ὁποῖα τῶν ταύρων.
Τί σοι λέγω τὰ πολλά;
πλὴν ἐκυρώθης,
μέλλεις τε ἀνάσσειν

là-bas cette forêt boisée (épaisse);
et maintenant je n'ai plus la force
de poursuivre la biche:
mais si toi tu *le* veux [mains,
elle viendra (tombera) dans mes
attrapée par tes paroles
mielleuses. »
Le renard partit:
et il la trouva
sous les bois sauvages
bondissant sur le tendre gazon;
et d'abord
il la caressait-en-remuant-la-queue,
ensuite il lui adressa aussi le salut,
et *dit* qu'il était venu
messager de bonnes nouvelles.
« Le lion, disait-il,
tu *le* sais,
est à moi voisin;
or, il-se-trouve (va) mal,
et est près de mourir.
Il examinait donc
qui des animaux
régnera après lui.
Le sanglier est stupide,
l'ours paresseux,
le léopard irascible,
le tigre fanfaron
et en général vivant-solitaire.
Il juge la biche
la plus digne de régner.
Elle est majestueuse quant à la taille,
et vit jusqu'à de nombreuses années;
et elle pousse des cornes
redoutables à tous les animaux,
semblables à des arbres,
et non comme celles des taureaux.
Que dois-je te dire toutes les choses,
si-ce-n'est-que tu as été choisie,
et tu vas régner

Τότ' οὖν γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
Ταῦτ' ἦλθον[7]. Ἀλλὰ χαῖρε, φιλτάτη. Σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλαι με ζητήσῃ·
χρῆται γὰρ ἡμῖν[8] εἰς ἅπαντα συμβούλοις·
δοκῶ δὲ καὶ σέ[9], τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις. Ἔπρεπέ σοι παρεδρεύειν
ἐλθοῦσαν[10] αὐτῷ, καὶ πονοῦντα[11] θαρσύνειν.
Τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάτοις ὥραις·
ψυχαὶ[12] δ' ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων. »
Ὡς εἶπε κερδώ. Τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν[13]· ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρός, καὶ τὸ μέλλον οὐκ ἤδει.
Λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὕατ' ἐσπάραξεν ἀκραίοις,

commander à tous les hôtes errants de ces montagnes. Alors, maîtresse, souviens-toi du renard qui, le premier, t'a annoncé cette nouvelle. Je suis venu tout exprès; mais, adieu, ma bonne amie. Je cours près du lion, de peur qu'il ne s'inquiète de mon absence, car il prend en tout nos conseils. Je pense, mon enfant, que tu te hâteras aussi. Si tu en crois cette vieille tête, tu ferais bien de venir t'asseoir auprès de lui, pour rassurer le malade. Les petites attentions touchent toujours aux derniers moments, et l'âme des mourants est toute dans leurs yeux. » Le renard dit. A ces paroles artificieuses, la biche se sentit gonflée d'orgueil. Elle se rendit dans la sombre retraite du lion; elle ne prévoyait pas ce qui l'attendait. Le lion, emporté par une ardeur imprudente, s'élança de son lit, et du bout de

ηρίων
ρειφοίτων.
Ὅτε οὖν γένοιτο μνήμη,
έσποινα,
ῆς ἀλώπεκος τῆς σοι εἰπούσης
οῦτο πρῶτον.
Ἦλθον ταῦτα.
Ἀλλά, φιλτάτη, χαῖρε.
Σπεύδω πρὸς τὸν λέοντα,
μή με ζητήσῃ
πάλαι·
χρῆται γὰρ ἡμῖν
συμβούλοις
ἐς ἅπαντα·
οκῶ δέ, τέκνον,
καὶ σέ,
εἰ ἀκούεις τι
τῆς γραίης κεφαλῆς.
Ἔπρεπέ σοι
ἐλθοῦσαν
παρεδρεύειν αὐτῷ,
καὶ θαρσύνειν
πονοῦντα.
Τὰ μικρὰ
πείθει
τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δὲ ἐν ὀφθαλμοῖσι
τῶν τελευτώντων. »
Ὡς εἶπε κερδώ.
Τῆς δὲ ὁ νοῦς ἐχαυνώθη
λόγοις ποιητοῖσιν·
ἦλθε δὲ
εἰς σπήλυγγα κοίλην θηρός,
καὶ οὐκ ᾔδει
τὸ μέλλον.
Λέων δέ,
διωχθεὶς σπουδῇ,
ἐφορμήσας ἀσκόπως
ἀπὸ εὐνῆς,
ἐσπάραξεν ὄνυξιν ἀκραίοις

sur les animaux
errants-dans-les-montagnes.
Alors qu'il *te* soit souvenir,
maîtresse,
du renard qui t'a annoncé
cela le-premier.
Je suis venu *pour* cela.
Mais, *ma* très-chère, adieu.
Je cours vers le lion,
de-crainte qu'il ne me cherche
depuis-long-temps;
car il se sert de nous
comme conseillers
pour toutes-choses;
et je pense, *mon* enfant,
que toi aussi *tu te hâteras*,
si tu écoutes un peu
cette vieille tête.
Il était convenable à toi
qu'étant accourue
tu fusses assise-près de lui,
et que tu *le* reconfortasses
lui défaillant.
Les petites-choses (attentions)
séduisent [ments;
ceux *qui sont* dans les derniers mo-
et l'âme est dans les yeux
des mourants. »
Ainsi parla le renard.
Et de celle-ci le cœur fut enflé
par *ces* paroles artificieuses;
et elle vint
dans l'antre profond de la bête,
et ne savait pas
ce qui-allait-arriver.
Et le lion,
emporté par *son* ardeur,
s'étant élancé imprudemment
de *son* lit,
lui déchira des griffes extrêmes

σπουδῇ διωχθείς[14]· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
Κερδὼ δὲ χεῖρας ἐπεκρότησεν[15] ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
Κἀκεῖνος ἐστέναζε τὸ στόμα βρύχων·
ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη.
Πάλιν δὲ κερδοῦν ἱκέτευε φωνήσας,
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
Ἡ δ' εἶπε κινήσασα[16] βυσσόθεν γνώμην·
« Χαλεπὸν κελεύεις αὖτις[17], ἀλλ' ὑπουργήσω. »
Καὶ δὴ κατ' ἴχνος, ὡς σοφὴ κύων, ἦει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας.
Ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ἡματωμένη φεύγει.
Τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει[18],
ἕως ποθ' εὗρεν ἐν κατασχίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. Ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.

ses ongles lui déchira les oreilles : la malheureuse s'enfuit droit au milieu des bois. Le renard frappa des mains de dépit, en voyant tant de frais en pure perte. L'autre fit entendre un sourd gémissement et grinça des dents, tourmenté à la fois par la faim et par la douleur. Il se mit à supplier encore le renard, le conjurant d'imaginer quelque nouveau piége. Celui-ci, après s'être creusé la tête : « Ce que tu me demandes pour la seconde fois est difficile, mais je veux t'obliger. » Il suivit donc la piste de la biche, avec l'intelligence d'un chien, tramant en chemin des fourberies et des stratagèmes de toute espèce; à chaque berger qu'il rencontrait, il demandait s'il n'avait pas vu fuir une biche toute sanglante; ceux qui l'avaient aperçue le mettaient sur la voie; il la trouva enfin dans un fourré épais, qui reprenait haleine, épuisée de sa course. Il s'arrêta devant elle; son œil et son front respiraient l'impudence. La biche

οὔατα·
φύζα δὲ ἦγε τὴν δειλαίην
θύρης κατιθὺς εἰς μέσας ὕλας.
Κερδὼ δὲ ἐπεκρότησε χεῖρας
ἀλλήλαις,
ἔπει πόνος
ἐξανηλώθη μάταιος.
Καὶ ἐκεῖνος ἐστέναζε
βρύχων τὸ στόμα·
λιμὸς γὰρ αὐτὸν εἶχε.
καὶ λύπη ὁμοῦ.
Καὶ πάλιν ἱκέτευε
κερδοῦν, φωνήσας
εὑρεῖν τινα ἄλλον
δεύτερον δόλον θήρης.
Ἡ δὲ εἶπε,
κινήσας γνώμην
βυσσόθεν·
« Κελεύεις χαλεπὸν
αὖτις,
ἀλλὰ ὑπουργήσω. »
Καὶ δὴ ἤει
κατὰ ἴχνος,
ὡς κύων σοφή,
πλέκουσα τέχνας
καὶ πάσας πανουργίας·
ἐπηρώτα δὲ ἀεὶ
ἕκαστον ποιμένων,
μή πού τις ἔλαφος
ἡματωμένη φεύγει·
τὴν δὲ ὥς τις
εἶδεν,
ὡδήγει ἂν
δεικνύων,
ἕως ποτὲ εὗρεν
ἐν χώρῳ κατασκίῳ
ἀναψύχουσαν δρόμων.
Ἡ δέ, ἔχουσα ὀφρὺν καὶ μέτωπον
ἀναιδείης, εἱστήκει.
Φρὶξ δὲ ἐπέσχε

les oreilles :
et la fuite conduisait la *bête* craintive
de la porte droit au milieu des bois.
Mais le renard frappa *de dépit ses*
l'une-contre-l'autre, [pattes
lorsque sa peine
fut dépensée en-pure-perte.
Et l'autre gémit-sourdement
en grinçant la bouche (les dents) :
car la faim le possédait
et la douleur tout-à-la-fois.
Et de-nouveau il suppliait
le renard, en disant
de trouver quelqu'autre
second piége d'attrape.
Et celui-ci dit
après avoir remué *son* esprit
du-fond (jusqu'au fond) :
« Tu ordonnes une-chose-difficile
pour-la-seconde-fois,
mais je *te* rendrai-service. »
Et alors il marchait
sur la trace *de la biche*,
comme un chien habile,
ourdissant des trames
et toute-espèce-de fourberies :
et il demandait sans-cesse
à chacun des bergers,
si quelque part une biche
ensanglantée ne fuyait pas ;
et quand quelqu'un
*l'*avait vue,
il *le* mettait-sur-la-voie,
lui montrant *le chemin*,
jusqu'à ce qu'enfin il *la* trouva
dans un lieu ombragé,
se remettant de *ses* courses.
Et lui, ayant le sourcil et le front
de l'impudence, se tenait *devant elle*.
Et un frisson s'empara

Ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολῇ δ' ἐπέζει[19] καρδίην, ἔφη δ' οὕτω·
« Σύ νυν διώκεις πανταχοῦ με, καὶ φεύγω.
Ἀλλ', ὦ στύγημα, νῦν μὲν οὐχὶ χαιρήσεις,
ἢν μοι προσελθῇς καὶ τι γρύξαι τολμήσῃς.
Ἄλλοις ἀλωπέκιζε[20] τοῖς ἀπειρήτοις,
ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε[21] καὶ ποίει.
Τῆς δ' οὐκ ἐτρέφθη θυμός, ἀλλ' ὑποβλήδην,
« Οὕτως ἀγεννής, » φησί, « καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
Ὁ μὲν λέων σοι συμφέροντα βουλεύων,
μέλλων τ' ἐγείρειν[22] τῆς πάροιθε νωθείης,
ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις.
Σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀῤῥώστου,
βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης.
Καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
λίην ἄπιστον πειράσας σε καὶ κούφην,
βασιλῇ[23] δέ φησι τὸν λύκον καταστήσειν.
Οἴμοι πονηροῦ δεσπότου· τί ποιήσω;

sentit un frisson agiter ses oreilles et tous ses membres, et le cœur bouillant de colère, elle parla ainsi : « Tu me poursuis donc partout, et je te fuis. Perfide, tu n'auras pas sujet de te réjouir si tu approches de moi, et si tu oses souffler un mot. Essaye tes ruses contre ceux qui ont moins d'expérience; chatouille d'autres ambitions, et choisis d'autres rois. » Le renard, sans s'émouvoir, lui répondit : « As-tu donc si peu de courage? es-tu si remplie de craintes, et si soupçonneuse envers tes amis? Le lion qui te voulait du bien, et qui désirait réveiller ta paresse, te prenait l'oreille, comme fait un père mourant; il se préparait à te donner toutes ses instructions, à t'enseigner comment tu pourrais garder ce grand pouvoir qu'il allait te remettre. Tu n'as pu endurer les caresses d'une main débile; tu t'es violemment échappée, et tu t'es fait bien plus de mal qu'il n'aurait voulu. A cette heure il est plus irrité que toi, de t'avoir trouvée si défiante et si étourdie; il dit qu'il va nous donner le loup pour roi. Hélas! quel méchant maître! Que

ωῶτα καὶ κνήμας ἐλάφου,
χολῇ δὲ ἐπέζει
καρδίην, ἔφη δὲ οὕτω·
« Σὺ διώκεις νύν με πανταχοῦ,
καὶ φεύγω.
Ἀλλά, ὦ στύγημα,
νῦν μὲν οὐχὶ χαιρήσεις,
ἢν προσέλθῃς μοι
καὶ τολμήσῃς γρύξαι τι.
Ἀλωπέκιζε ἄλλοις
τοῖς ἀπειρήτοις·
ὑπερέθιζε δὲ ἄλλους βασιλεῖς
καὶ ποίει. »
Τῆς δὲ θυμὸς
οὐκ ἐτρέφθη,
ἀλλὰ φησὶν ὑποβλήδην·
« Πέφυκας οὕτως ἀγεννὴς
καὶ πλήρης φόβου;
ὑποπτεύεις οὕτω τοὺς φίλους;
Ὁ μὲν λέων βουλεύων
συμφέροντά σοι,
μέλλων τε ἐγείρειν
τῆς νωθείης τῆς πάροιθεν,
ἔψαυσεν ὠτός,
ὡς πατὴρ ἀποθνήσκων·
ἔμελλε γάρ σοι δώσειν
πᾶσαν ἐντολήν,
πῶς λαβοῦσα
τοσαύτην ἀρχὴν τηρήσεις.
Σὺ δὲ οὐχ ὑπέστης
